ἄχρηστος] οὐ μὴν περὶ ἀχρηστοτέρων οὐδ' ἧττον τῇ πόλει συμφερόντων τυγχάνω διειλεγμένος p. 438, 84. οὐ μὴν παντάπασιν ἄχρηστος ἔφυν οὐδ' ἀδόκιμος 425, e.

βαδίζειν] ἔτυχον μετ' αὐτοῦ βαδίζων. forte cum eo ambulabam 372, a.

βάλλειν] ἥδιον ἂν εἰς τὴν θάλατταν τὰ σφέτερ' αὐτῶν † βάλοιεν 130, a.

βαρβαρικῆς δεσποτείας ἀπαλλαγέντες 113, d.

βάρβαρος] τὸν βάρβαρον θεραπεύοντες 58, a. καὶ τῷ βαρβάρῳ τῷ τῆς Ἀσίας κρατοῦντι συμπράττουσιν 67, b. τῶν * βαρβάρων ἀνανδρία 110, a. ὥστε τὸν μὲν ἐπέκεινα χρόνον οἱ δυστυχοῦντες ἐν τοῖς βαρβάροις τῶν Ἑλληνίδων πόλεων ἄρχειν ἠξίουν. adeo ut superioribus quidem temporibus, inter barbaros quotquot essent calamitosi, se dignos censerent qui Græcis urbibus imperarent 219, c. ὧν Λακεδαιμόνιοι πλέον ἀπέχουσι τῶν βαρβάρων 276, d. ποιεῖσθαι τὴν στρατείαν τὴν ἐπὶ τοὺς βαρβάρους 412, b.

βαρέως] ἀγανακτεῖν καὶ βαρέως φέρειν 154, d. 281, a. p. 456, 156. ἔχειν 281, d.

βαρὺς] ἐπαχθέστεροι καὶ βαρύτεροι p. 452, 140. βαρύτερα λέγειν τῆς ἡλικίας 236, b.

βαρύτης] τὰς μὲν τῶν ἄλλων ἀηδίας καὶ βαρύτητας εὐκόλως καὶ ῥᾳδίως φέροντες 239, b.

βασανίζειν] χρυσίον ἐν τῷ πυρὶ * βασανίζομεν 7, b. συλληφθέντα ὡς ἐλεύθερον ὄντα διεκώλυσε βασανίζεσθαι 362, a. 363, a. βασανίζειν τὸν παῖδα 361, d. 362, b. 364, b. 369, c. βασανίζεσθαι περὶ τῆς παρακαταθήκης. quæstionem subire de deposito 361, b. (bis.)

βασανιστὴς] ἑλόμενοι δὲ βασανιστάς. delectis autem quæsitoribus 361, d. 362, b.

βάσανος] οὗτος δ' οὕτω σφόδρα ἔφευγε τὴν βάσανον 361, c. 363, b. 364, c. 369, d. ἔλαττον ἔμελλεν ἕξειν ἐν τῇ βασάνῳ. si quæstio adhiberetur, secum deterius actum iri 369, d. 370, a.

βασιλεία] τὴν βασιλείαν ὥσπερ ἱερωσύνην παντὸς ἀνδρὸς εἶναι νομίζουσιν 16, a. ὥστε τοὺς εἰσαφικνουμένους μὴ μᾶλλον Εὐαγόραν τῆς ἀρχῆς ζηλοῦν, ἢ τοὺς ἄλλους τῆς ὑπ' ἐκείνου βασιλείας 197, c. ζηλοῦν καὶ μιμεῖσθαι τὴν ἐν Λακεδαίμονι βασιλείαν 187, d. οὐδεὶς οὔτε θνητὸς οὔτε ἡμίθεος οὔτ' ἀθάνατος εὑρεθήσεται κάλλιον οὐδὲ λαμπρότερον οὐδ' εὐσεβέστερον λαβὼν ἐκείνου τὴν βασιλείαν 196, c. ἡγούμενος καλῶς αὐτῷ τὴν βασιλείαν ἕξειν 197, a. νομίζων πολὺ μείζω καὶ καλλίω ταύτην εἶναι τὴν τιμὴν ἢ τὴν τῆς Ἀσίας βασιλείαν 216, c. ἐν Αἰγύπτῳ κατεστήσατο τὴν βασιλείαν 223, d. ἔχων βασιλείαν ἀσφαλεστάτην καὶ μεγίστην 259, a. ὥς περ ἱερωσύνην εἰληφὼς τὴν βασιλείαν 343, b.

βασίλειον] ἐκλιπὼν τὰ βασίλεια. regia relicta 58, d. προσέβαλε

πρὸς τὸ βασίλειον. in regiam impetum fecit 194, d. ἑλὼν τὸ βασίλειον 195, a.

βασιλεύειν] ἅπαντα γὰρ τὰ τῶν οἰκούντων τὴν πόλιν οἰκεῖα τῶν καλῶς βασιλευόντων ἐστὶ 19, b. ἡγούμενος σὲ δεῖν, τὸν οὐχ ἕνα τῶν πολλῶν ἀλλὰ πολλῶν * βασιλεύοντα, (quum non sis unus de multis, sed multorum rex) μὴ τὴν αὐτὴν γνώμην ἔχειν τοῖς ἄλλοις 24, d. καρτέρει δὲ ὡς χρὴ τοὺς * βασιλεύοντας ἐν τοῖς ἄλλοις ἐπιτηδεύμασιν 21, c. ἅπαντες οἱ τότε βασιλεύοντες καὶ δυναστεύοντες 215, e. Ξέρξου τοῦ τότε βασιλεύοντος τριήρεις συναγαγόντος τριακοσίας καὶ χιλίας 242, d. βασιλεύεσθαι regi parere. διδάσκετε τοὺς παῖδας τοὺς ὑμετέρους αὐτῶν βασιλεύεσθαι 38, e.

βασιλεὺς] οὐ βασιλέα τὸν μέγαν αὐτὸν προσαγορεύομεν 66, a. ἐκ ποίας δ' οἰκίας τῶν ἐν Σίφνῳ πλείους βασιλεῖς γεγόνασιν 391, e. καρτέρει δὲ ὡς χρὴ τοὺς † βασιλέας ἐν τοῖς ἄλλοις ἐπιτηδεύμασιν 21, c. ἄξιον δὲ μνησθῆναι καὶ τῶν βασιλέων ἀμφοτέρων 102, a. τὰ τοίνυν περὶ Κύπρον τότε μὲν ἦν βασιλέως 102, e. περιορᾶν βασιλέας μεγάλους προσαγορευομένους 109, a. οὐδεπώποθ' οἱ πολέμιοι τρόπαιον ἡμῶν ἔστησαν ἡγουμένου βασιλέως ἐκ τῆς οἰκίας τῆς ἡμετέρας 138, d. βασιλεὺς ὁ μέγας 202, a. κοινῆς ἡμῖν τῆς ἔχθρας ὑπαρχούσης τῆς πρὸς τοὺς βαρβάρους καὶ τοὺς βασιλέας αὐτῶν 253, e. βασιλεῖ περὶ φιλίας διελέγοντο καὶ συμμαχίας 254, a. b. c. d. ὅτι παρὰ Νικοκλέους τοῦ Σαλαμινίων βασιλέως πολλὰς ἔλαβον καὶ μεγάλας δωρεὰς 318, b. ἐκείνοις (Lacedæmoniis scil.) βασιλέως χρήματα παρέχοντος 350, c. ἴδοις δ' ἂν καὶ Λακεδαιμονίους περὶ τῆς τῶν βασιλέων σωτηρίας πολλὴν ἐπιμέλειαν ποιουμένους 408, a.

βασιλικὸς] τοῦθ' ἡγοῦ βασιλικώτατον 20, d. περὶ τῶν Ἑλληνικῶν καὶ βασιλικῶν καὶ πολιτικῶν πραγμάτων τὴν προαίρεσιν ποιούμενος 235, b. βασιλικὸν βίον ἀφέντες 248, e.

βασιλικῶς] ἦν βασιλικῶς ἀλλὰ μὴ τυραννικῶς αὐτῶν ἐπιστατῆς 113, c. οὐδεὶς γὰρ ἔστιν ὅστις οὐ κατέγνω προπετέστερόν σε κινδυνεύειν ἢ βασιλικώτερον 407, b.

βασκαίνειν fascino. item invideo. quoniam qui fascinant, id faciunt quod invideant. ὥστε καὶ τοὺς βασκαίνοντας ἡμᾶς μιμεῖσθαι καὶ θαυμάζειν αὐτὸν 84, d. τὰ ἡμέτερα ἅμα τε θαυμάζοντες καὶ βασκαίνοντες 265, c.

βέβαιος] τὴν παρ' ἐκείνων εὔνοιαν βεβαιοτέραν ἔχειν 10, a. νόμιζε μηδὲν εἶναι τῶν ἀνθρωπίνων βέβαιον 11, b. οὐ γὰρ εἰρήνην οἷόν τε βεβαίαν ἀγαγεῖν 76, e.

βεβαιοῦν] βεβαιῶσαι τὴν γεγενημένην αὐτῷ πρὸς σὲ γνῶσιν 413, a:

βεβαίως] τὸ δὲ δι' ἡμᾶς αὐτοὺς γιγνόμενον βεβαιοτέρως ἂν ἔχοι 171, c.

βέλτιστος] τοὺς ἐπ' ὠφελίᾳ νουθετοῦντας ἐπαινεῖν καὶ βελτίστους τῶν πολιτῶν νομίζειν 173, d. 183, c. ἀφ' ἑκάστου τὰ * βέλτιστα λαμβάνων 13, b. ὥστε τοὺς πρεσβυτέρους περὶ ἁπάντων εἰδέναι τὸ βέλτιστον 116, c. ἐπὶ τοὺς βελτίστους καὶ φρονιμωτάτους καταφεύγοντες 260, c. ἐποιοῦντο συμβούλους τοὺς βελτίστους καὶ φρονιμωτάτους καὶ κάλλιστα βεβιωκότας 262, c. τοὺς βελτίστους ἐκ τῶν ὄντων ἐκβάλλοντες 345, a. τῶν πολιτῶν τοὺς βελτίστους καὶ πλουσιωτάτους καὶ φρονιμωτάτους λυμανοῦνται καὶ δασμολογήσουσι 422, a. σοφοὺς νομίζω

τοὺς ταῖς δόξαις ἐπιτυγχάνοντας ὡς ἐπὶ τὸ πολὺ τοῦ βελτίστου δυναμένους p. 487, 290.

βελτίων] βίον ζητεῖν βελτίω τοῦ παρόντος 267, c. ἅμα τοῦ τε φρονεῖν ἄμεινον καὶ τοῦ πράττειν βέλτιον τῶν ἄλλων ὀλιγωροῦντες 165, d.

βῆμα] ἐπὶ τὸ βῆμα παριέναι 161, c. 235, b. p. 477, 246. ἐπὶ τοῦ βήματος μαινόμενοι 108, d. 170, c. 262, d. τὰ βήματα κατατετριφότες, 426, a.

βία] μετὰ λόγου καὶ μὴ μετὰ βίας. sermone non vi 48, d. βίᾳ τῶν ἐχθρῶν. hostium ingratiis 52, e. ἀλλ' οἰηθεὶς πειρατέον εἶναι βίᾳ κατελθεῖν. sed ratus moliendum esse ut in patriam vi descenderet 94, a. ὁρῶν γὰρ τοὺς βίᾳ τῶν πολιτῶν ζητοῦντας ἄρχειν ἑτέροις δουλεύοντας. cum enim videret eos, qui civibus per vim imperare auderent, aliis servire 214, c. εὐπορίαν κτήσασθαι τυραννικῶς μετὰ βίας καὶ πολλῆς ἀπεχθείας 422, c.

βιάζεσθαι] τοὺς μὲν πεῖσαι, τοὺς δὲ βιάσασθαι 31, b. βιάσασθαι προσδοκήσας qui sperarat se vi *nos* superaturum 52, e. ἔστι δὲ τὸ μὲν πείθειν πρὸς τοὺς Ἕλληνας συμφέρον, τὸ δὲ βιάζεσθαι πρὸς τοὺς βαρβάρους χρήσιμον. quod ad Græcos, persuadere prodest, quod ad barbaros, cogere utile est 85, c.

βίβλιον. libellus 86, d. νομιεῖν τὰς βλασφημίας τὰς ἐνούσας ἐν τῷ * βιβλίῳ τὸν φθόνον ὑποβαλεῖν 285, d. καί μοι λάβε τὸ βίβλιον 375, b. 387, b.

† βίβλος 285, d. τὰς βίβλους τὰς περὶ τῆς μαντικῆς αὐτῷ κατέλιπε 385, c.

βίος] πάντων μὲν ἐπιμελοῦ τῶν περὶ τὸν βίον 10, e. διάγειν τὸν βίον. vitam agere 34, d. 35, a. τὸν βίον οἱ πρῶτοι φανέντες ἐπὶ γῆς οὐκ εὐθὺς οὕτως ὥσπερ νῦν ἔχοντα κατέλαβον. vitam ii qui primi in terris extiterunt, non statim ut nunc rebus instructam acceperunt 47, a. διαβληθείην ἂν τὸν ἅπαντα * βίον 358, b. ὥστε τὰ πλεῖστα τοῦ βίου καὶ τοῖς Ἕλλησι καὶ τοῖς βαρβάροις διὰ συνθηκῶν εἶναι. adeo ut pleræque res quæ in vita *hominum* aguntur cum apud Græcos tum apud barbaros per fœdera transiguntur 376, d. ἐμοὶ γὰρ αἱρετώτερος ὁ βίος εἶναι δοκεῖ καὶ βελτίων ὁ τῶν ἰδιωτευόντων ἢ ὁ τῶν τυραννούντων 420, b. μετὰ πλείστης ἀσελγείας τὸν * βίον διάξουσι 422, a. τῷ βίῳ παρακολουθεῖν p. 485, 281. victus. μάλιστα βίου δεόμενοι 47, d. βίον αὐτοῖς ἱκανὸν πορίσαντες 106, e. ὁ κοινὸς βίος. victus communis 306, b. βίον πορίζεσθαι 317, c. τὴν ἰδίαν τοῦ βίου τάξιν διαφυλάττων 117, b. εἰ τὰ περὶ τὸν βίον εὐπορώτεροι γιγνοίμεθα 162, e. βουλομένη τὸν ἐκείνων θάνατον ζηλωτότερον ἢ τὸν βίον τὸν τῶν ἄλλων καταστῆσαι 219, a. οἱ δὲ τοιοῦτοι πλεῖστα τὸν βίον τὸν τῶν ἀνθρώπων ὠφελοῦσιν 226, b. τὸν βίον τελευτᾶν 273, e. 287, c. p. 464, 189. 390, d. 407, c. ἐθαύμαζόν σου τήν τε φύσιν καὶ τὴν τοῦ βίου τάξιν 287, c. βίου δυστυχοῦς ἀπαλλαγῆναι 408, d. προήγαγεν εἰς τοῦτό μου τὸν βίον 413. οἶμαι δὴ πάντας ἂν ὁμολογῆσαι τοὺς νόμους πλείστων καὶ μεγίστων ἀγαθῶν αἰτίους εἶναι τῷ βίῳ τῶν ἀνθρώπων p. 438, 85. τὸν βίον ὃν ζῶ 311, c. p. 456, 155. τὸν ἐνθάδε † βίον εὐτυχέστερον ἐκείνων

διαβεβίωκεν 203, b. τὸν βίον ὃν ζῶ δηλοῦν ἐνθυμούμενος 311, c. 319, a.

βιοτεύειν] μεθ' ὧν ἐκεῖνοι βιοτεύοντες τοῖς σώμασιν ἰατρικὴν ἐξεῦρον ἐπικουρίαν 225, d.

βιοῦν] οἱ δ' ἐν ταῖς μεγίσταις δόξαις ὄντες αὐτῶν ὁμαλῶς μὲν οὐδὲ κοινῶς οὐδὲ πολιτικῶς ἐβίωσαν. qui vero ex iis in maximo honore sunt, nunquam quidem æquabiliter, aut communiter, aut civiliter vixerunt 72, b. τοσοῦτον δ' ἐβίω χρόνον 203, c. οὕτω γὰρ βεβίωκα τὸν παρελθόντα χρόνον 315, c. καὶ γὰρ τοῖς βεβιωμένοις καὶ τοῖς πεπραγμένοις ἐπίστευον p. 461, 179.

βλαβερὸς] εἰ βλαβεροῖς χρῶμαι τοῖς λόγοις 320, c. p. 437, 81. τὰ γὰρ αὐτὰ πανταχῆ καὶ μηδαμῆ διαφέροντα τοῖς μὲν ὠφέλιμα τοῖς δὲ βλαβερὰ γίγνεται. nam res eædem ubique et nequaquam differentes, aliis quidem utiles sunt, aliis vero nocivæ 279, c.

βλάβη] μήτε μετὰ βλάβης πειρῶ τῶν φίλων, μήτε—neque cum damno amicos tentes, nec—7, b. ἐπὶ βλάβῃ τοιαῦτα λέγοντες. lædendi causa talia dicentes 67, d. τοὺς μὲν ἐπὶ βλάβῃ (nocendi studio) λοιδοροῦντας μισεῖν 173, d. ὅσοι τοῖς πράγμασι τοῖς εὑρημένοις ἐπ' ὠφελίᾳ, τούτοις ἐπὶ βλάβῃ χρώμενοι τυγχάνουσι 278, d.

βλάπτειν] βλάπτειν τοὺς συμπολιτευομένους ἐπιχειροῦσι 27, c. μὴ τυχὼν μὲν γὰρ οὐδὲν βλαβήσει, τυχὼν δὲ μᾶλλον αὐτῶν τὸν τρόπον ἐπιστήσει.—οὗτοι μὲν βλάπτουσι τοὺς ἐξαπατηθέντας 226, b. αἱ φύσεις αἱ τῶν πραγμάτων οὔτ' ὠφελοῦσιν οὔτε βλάπτουσιν ἡμᾶς 279, b. τοῦ κατηγόρου διαβάλλοντος ὅτι τοιούτους γράφω λόγους οἳ καὶ τὴν πόλιν βλάπτουσι καὶ τοὺς νεωτέρους διαφθείρουσι 321, b.

βλάστημα] ὥσπερ γὰρ τὴν μέλιτταν ὁρῶμεν ἐφ' ἅπαντα μὲν τὰ βλαστήματα καθιζάνουσαν 13, b.

βλασφημεῖν περὶ τῶν παιδευόντων καὶ φιλοσοφούντων 28, c. τῶν βλασφημούντων καὶ φλυαρούντων φροντίζειν 98, a. ἐξ ὧν ἐβλασφήμησαν περὶ ἐκείνου 217, a. βλασφημεῖν οἴονται χρῆναι p. 481, 265. 484, 276.

βλασφημία criminatio. τὰ μὲν γὰρ τοιαῦτα τῶν ἔργων φθόνον ἔχει καὶ δυσμένειαν καὶ πολλὰς βλασφημίας 95, e. 309, c. τοιαύταις βλασφημίαις χρώμενοι 136, a.

βλέπειν] πρὸς ὃ χρὴ βλέποντας δοκιμάζειν 187, c.

βοὴ] φοβοῦμαι μὴ θορύβου καὶ βοῆς ἅπαν ἐμπλήσητε τὸ δικαστήριον p. 487, 291.

βοήθεια] τῷ δὲ πλήθει τὰς βοηθείας ἐποιοῦντο. et opem populo ferebant 66, e.

βοηθεῖν] ἐκ τῶν κοινῶν ταῖς ἰδίαις ἀπορίαις βοηθεῖν ζητοῦντες 262, a. φαίνεται γὰρ τῷ δήμῳ βοηθῶν 355, c.

βομβυλιὸς apicula. τοὺς βομβυλιοὺς καὶ τοὺς ἅλας ἐπαινοῦντες 210, c.

βούλεσθαι] εἰ τῷ μὲν εἴη † βουλομένῳ λέγειν 103, c. μείζω τοῦ * βούλεσθαι ῥώμην ἔχων 217, a. εἰ γὰρ μηδὲ † βούλονται χρηστοὺς αὐτοὺς εἶναι 229, d. ἀλλ' ὡς οἵ τε καιροὶ καὶ τὸ συμφέρον ἑκάστοις καὶ τὸ * βούλεσθαι συνέπιπτε 274, a. τὰς δὲ τῆς πόλεως συνθήκας ἰδίᾳ τὸν βουλόμενον λύειν ἐάσετε 376, b. ὀρθῶς δοκιμάζειν βουλόμενοι 279, a. ἔξεστι τῷ βουλομένῳ τῶν πολιτῶν γαψαμένῳ πρὸς τοὺς θεσμοθέτας

e. μὴ γὰρ σωθέντων ἐκείνων οὐδὲ γενέσθαι τὸ παράπαν ὑπῆρχεν αὐτοῖς. nam nisi servati essent illi, hi ne nasci quidem prorsus potuissent 89, b. εὕρισκον Ἄργος μὲν κατ' ἀγχιστείαν αὐτῶν γιγνόμενον. invenerunt Argos quidem ob propinquitatem ad ipsos pertinere 119, c. ὅ τι ἂν τύχῃ γενησόμενον. quodcunque forte evenerit 160, c. θορύβους τοὺς ἐν τοῖς τοιούτοις καιροῖς * γιγνομένους τί δεῖ λέγοντα διατρίβειν 194, e. ἀγὼ (scilicet ἔτη) τυγχάνω γεγονὼς 233, b. ὧν οἱ μὴ τυχόντες ἀτιμότεροι † γίγνονται τῶν ὀφειλόντων τῷ δημοσίῳ 234, c. μικρὸν μέρος τῶν γιγνομένων ἡμῖν διδόντες cum de suis rebus exiguam partem nobis impertissent 246, e. καθ' αὑτοὺς (seorsim) γιγνόμενοι 262, d. γενέσθαι πρὸς τῇ τῶν λοιπῶν πραγματείᾳ incumbere in studium quod adhibendum fuit ad res reliquas efficiendas 289, c. ἀδελφὴ κόρη τετρακαιδεκέτις γεγονυῖα 388, e. ὥστ' ἐπὶ μὲν τὸ κῆδος οὐκ ἠξίωσεν † γενέσθαι 390, d.

γινώσκειν] σὲ δὲ νομίζω τοὐναντίον τούτων ἐγνωκέναι 12, a. decernere. ἀεὶ ταὐτὰ περὶ τῶν αὐτῶν γίγνωσκε 18, c. κἀκεῖθεν ῥᾴδιον * γνῶναι τὴν ἐμὴν διάνοιαν 151, c. ὥστε περὶ τῶν αὐτῶν τῆς αὐτῆς ἡμέρας οὐ ταὐτὰ γιγνώσκομεν 170, a. * γνοίη δ' ἄν τις ἐκεῖθεν τὴν δύναμιν αὐτῶν 191, a. ἃ περὶ τῶν παίδων † ἔγνωσαν 216, c. ῥᾴδιον δὲ * γνῶναι τὴν δύναμιν αὐτοῦ 216, d. ἀλλ' αὐτοὶ γνόντες. sed ipsi per se cum decrevissent 246, c. ἔγνωσαν ἐμὴν εἶναι τὴν λειτουργίαν. munus illud mihi obeundum esse decreverunt 311, b. 300, e. ὅθεν μάλιστ' ἄν τις γνοίη τὴν ἐπιμέλειαν ὅσην ἔχει δύναμιν p. 471, 222. 473, 229. 232. ἐγίγνωσκεν οὖν Εὐθύνους, ὅτι μὲν ἔκειτο τὰ χρήματα παρ' αὐτῷ, πολλοὺς ᾐσθημένους 403, d.

γλίχεσθαι] μικροῦ χρόνου γλιχόμενοι 138, b. 245, e. 262, a. 265, c.

γλῶττα] πολλοῖς γὰρ ἡ γλῶττα προτρέχει τῆς διανοίας 11, a.

γνήσιος] τοὺς μὲν νόθους αὐτῶν τοὺς δὲ γνησίους καταλιπεῖν. alios quidem liberorum nothos, alios vero legitimos reliquisse 35, c. e. ἃ (παιδάρια) ἐκεῖνος οὐδὲ πώποτε γνήσια ἐνόμισε 385, d.

γνησίως sincere. τὰς ἡδονὰς ἐκ τούτων μάλιστα γνησίως ἔχομεν 12, b. οὕτω καλῶς καὶ γνησίως γεγόναμεν 45, c.

γνώμη] οὕτω τὴν ἐκείνων † γνώμην αἰσθήσει 9, d. sententia. εἴ τις ἐκλέξειε τῶν προεχόντων ποιητῶν τὰς καλουμένας γνώμας 23, c. μὴ τὴν αὐτὴν γνώμην ἔχειν τοῖς ἄλλοις 24, d. εἰ μὲν γὰρ διαμάρτοιτε τῆς ἐμῆς γνώμης. si enim a mea sententia aberretis 29, a. prudentia. ἀγῶνας ἰδεῖν, μὴ μόνον τάχους καὶ ῥώμης ἀλλὰ καὶ λόγων καὶ γνώμης 49, e. διὰ μιᾶς γνώμης. unanimiter 69, b. μὴ καὶ νῦν νομίζοι τὴν αὐτὴν γνώμην ἕξειν αὐτάς. ne existimet etiam nunc eodem eas animo fore 91, b. ἐπακολουθεῖν ταῖς τῶν συμμάχων γνώμαις 134, e. ταύτην ἔχοντες τὴν † γνώμην 159, c. ἐπὶ τοῖς ἔργοις καὶ τῇ * γνώμῃ φιλοτιμούμενοι 204, b. λέγοντες ὡς πολλὰ παρὰ γνώμην (præter opinionem) ἐν τοῖς δικαστηρίοις ἀποβαίνει 373, a. οὐ μέντ' ἄν μοι δοκῶ φυγεῖν οὐδὲ τὴν Θρασύλλου γνώμην. videor mihi etiam Thrasylli ferre posse judicium 393, a.

γνωρίζειν] τό τ' ἐμὸν ἦθος γνωριεῖτε 321, a.

γνώριμος] ὅσῳ περ αὐτὸν φανερώτερον ἐποίουν καὶ γνωριμώτερον τοῖς ἀναγιγνώσκουσιν 284, d. γνωριμώτερον εἶναι ἐν τοῖς ἡλικιώταις p. 460, 172.

γνωσιμαχεῖν repugnare priori suæ sententiæ et eam præcedente quodam animi quasi luctu mutare. καὶ γνωσιμαχήσαντας (ἤλπισαν) βουλεύσεσθαί τι κοινὸν ἀγαθὸν περὶ ὑμῶν αὐτῶν 83, d.

γνῶσις sententia. οὕτω γὰρ τὴν ἐκείνων *γνῶσιν αἰσθήσει 9, d. βεβαιῶσαι τὴν γεγενημένην αὐτῷ πρὸς σὲ γνῶσιν 413, a.

γονεὺς] μᾶλλον δ' ἐτίμων τοὺς αὐτόχειρας τῶν πολιτῶν ἢ τοὺς γονέας τοὺς αὐτῶν. magis autem colebant interfectores civium quam suos ipsorum parentes 64, a. 88, d. μήθ' ἱερῶν μήτε γονέων μήτε παίδων φροντίζειν 177, c. μηδὲν ὅμοιοι τοῖς γονεῦσιν ὄντες 421, a. τοὺς μὲν παῖδας διασώσας τοῖς γονεῦσιν ἀπέδωκεν 213, d. ὅτ' ἤδη μέλλοιεν ἀποπλεῖν ὡς τοὺς γονέας καὶ τοὺς φίλους τοὺς ἑαυτῶν p. 440, 94.

ὁ τὸ Γοργόνειον ὑφελόμενος 382, a.

γράμμα scriptum. οὐδὲν δεήσει πολλῶν γραμμάτων—. τὰ γράμματα λαβεῖν παρ' ἀλλήλων—. τὰς στοὰς ἐμπιπλάναι γραμμάτων 148, a. εἰ μὲν γὰρ μόνον ἐπίστευον τοῖς γράμμασι τοῖς ἐξ ἐκείνου τοῦ χρόνου παραδεδομένοις ἡμῖν 264, a. ὥστ' οὐδὲ γράμματα μανθάνουσιν 276, d. τὸ μὲν τῶν γραμμάτων ἀκινήτως ἔχει καὶ μένει κατὰ ταὐτὸν 293, c. ἀλλά φασιν ὁμοίως τὴν τῶν λόγων ἐπιστήμην ὥσπερ τὴν τῶν γραμμάτων παραδώσειν 293, a. Αὐτοκράτωρ γὰρ ὁ τὰ γράμματα φέρων οἰκείως ἡμῖν ἔχει 423, c. τοῖς γράμμασιν οὐδενὸς τούτων προσεδέησεν 293, e. διὰ γραμμάτων ποιεῖσθαι τὴν συνουσίαν 404, a. γράμματα πέμψαι πρὸς ὑμᾶς 424, b.

*γραμματείδιον παρ' ἀνθρώπῳ ξένῳ κείμενον μετέγραψαν 365, d.

γραμματεῖον ληξιαρχικὸν, liber in quem puerorum nomina referebantur, qui jam tutelæ suæ facti erant 176, d. κατακαῦσαι τὸ γραμματεῖον 362, e. 363, e. διαφθείρει τὸ γραμματεῖον 363, c. d. 364, e. 365, b. ἀνοίγειν τὸ γραμματεῖον 363, c. 365, a. ἐν τῷ γραμματείῳ γεγραμμένον 363, c. εὑρέθη γὰρ ἐν τῷ γραμματείῳ γεγραμμένον, ἀφειμένος ἁπάντων τῶν ἐγκλημάτων ὑπ' ἐμοῦ 363, c. † 365, d.

γραμματεὺς] ἐμὲ καὶ γραμματέα προσείλετο. me et scribam delegit 392, a.

γραμματικὴ] οἱ περὶ τὴν γραμματικὴν διαπονηθέντες p. 486, 286.

γραπτέος] ἐκεῖνα δὲ † γραπτέον καὶ λεκτέον οἷς ὁρῶσι τοὺς ὄχλους μάλιστα χαίροντας 24, d.

γράφειν] ὁμοίως τοῖς νόμοις καὶ ταῖς πολιτείαις ταῖς ὑπὸ τῶν σοφιστῶν * γεγραμμέναις. pari modo ac leges et respublicæ a sophistis conscriptæ 84, e. ἐπήρθην πάλιν *γράψαι περὶ αὐτῆς 84, c. ὅτ' ἔγραφον περὶ τὴν αὐτὴν ὑπόθεσιν ταύτην 99, a. χεῖρον γράφοντες τοὺς λόγους ἢ τῶν ἰδιωτῶν τινὲς αὐτοσχεδιάζουσιν orationes deterius scribentes quam ineruditorum nonnulli eas ex tempore loquuntur 292, c. τοῦ κατηγόρου διαβάλλοντος ὅτι τοιούτους γράφω λόγους οἳ καὶ τὴν πόλιν βλάπτουσι καὶ τοὺς νεωτέρους διαφθείρουσι 321, b. ὃς γεγραμμένας συνθήκας τολμᾷ παραβαίνειν 376, c. μα-

κροτέραν γέγραφα τὴν ἐπιστολὴν 416. ἐπεὶ μικροῦ γε μέρους τῶν πάλαι γεγραμμένων οὐκ ἂν ἀποσχοίμην p. 437, 80. ἀγανακτοῦντες καὶ γραφόμενοι καὶ δίκην ζητοῦντες παρ' ἡμῶν λαμβάνειν p. 479, 256. τοῖς μὲν πεπλασμένοις καὶ γεγραμμένοις οὐδεὶς ἂν τὴν τοῦ σώματος φύσιν ὁμοιώσειε 206, c. ἆρ' οὖν χρὴ τοιούτους λόγους *γράφειν 230, d. τοσούτου γὰρ ἐδέησε †γράψας κύριος γενέσθαι τῶν ἱκετῶν 273, e. εἰ δ' ὑποθείμην συκοφάντην ὄντα τὸν γεγραμμένον. si autem fingerem calumniatorem esse, qui dicam mihi scripserit 311, e.

γραφὴ] περὶ τῶν δικῶν καὶ τῶν γραφῶν λέγειν τολμῶσιν 64, c. ὑπὲρ ὧν φεύγω τὴν γραφὴν p. 442, 102. περὶ ὧν ἀπήνεγκε τὴν γραφὴν p. 444, 110. πολλὴν χάριν ἔχοντες ταῖς εἰσαγγελίαις καὶ ταῖς γραφαῖς καὶ ταῖς ἄλλαις συκοφαντίαις 185, c. καί μοι ἀνάγνωθι τὴν γραφὴν 316, b. κατὰ δὲ τῶν συκοφαντῶν γραφὰς πρὸς τοὺς θεσμοθέτας ἐποίησαν. in sycophantas vero apud sex viros (qui θεσμοθέται appellantur) citationes voluerunt esse 344, b. p. 454, 149. γραφὰς εἰσελήλυθε 381, a. λέγειν ἔξω τῆς γραφῆς p. 444, 111.

γυμνάζειν] τὸ σῶμα τοῖς πόνοις ἐγύμναζε 2, e. γύμναζε σεαυτὸν πόνοις ἑκουσίοις 6, b. οὐδενὶ τῶν ἀσκητῶν οὕτω προσήκει τὸ σῶμα γυμνάζειν 17, a. ἐν τούτοις γυμνασθεὶς 113, a. περὶ τὴν τούτων ἐμπειρίαν γυμνάζειν 209, a. οὕτω δὲ γιγνώσκοντες ἀποδέχονται μᾶλλον τοὺς γυμναζομένους τῶν φιλοσοφούντων. ita vero sententiis habitis, magis probant qui in certaminibus gymnicis se exercent, quam qui philosophantur p. 482, 267. περὶ τὸ λέγειν γεγυμνασμένος 280, c.

γυμνασία] γυμνασίαν μέν τοι τῆς ψυχῆς καλῶ τὴν διατριβὴν τὴν τοιαύτην p. 486, 285. παραπλησίαις χρώμενοι καὶ ταῖς διδασκαλίαις καὶ ταῖς γυμνασίαις p. 465, 195.

γυμνασιαρχία] περὶ δὲ τῶν ἐνθάδε χορηγιῶν καὶ γυμνασιαρχιῶν αἰσχύνομαι λέγειν 354, a.

γυμνάσιον] περὶ τὰ γυμνάσια διατρίβειν. circa gymnasia immorari 148, e. γυμνάσια πλεῖστα καὶ παντοδαπώτατα παρέχουσα p. 493, 315.

γυμνικὸς] πολλάκις ἐθαύμασα τῶν τοὺς γυμνικοὺς ἀγῶνας καταστησάντων. sæpenumero miratus sum eos qui ludos gymnicos instituerunt 41, a. χοροῖς καὶ μουσικῇ καὶ γυμνικοῖς ἀγῶσιν τιμῶν τὸν τάφον 189, a. ὅπερ ἐν τοῖς γυμνικοῖς ἀγῶσιν ποιοῦσιν οἱ θεαταὶ 207.

γυμνὸς] ἔρημος καὶ γυμνός. destituta et nuda (scil. oratio) 87, d. ὑπὸ πολλῶν ὁρᾶσθαι γυμναὶ p. 615, 12.

γυνὴ] γυναικῶν αἰσχύνας διεξελθεῖν. uxorum probra enumerasse 64, d. μιᾶς γυναικὸς ἁρπασθείσης. ob unam tantum mulierem sublatam 78, e. γυναῖκα γήμας p. 458, 167. ὅτι περὶ τοιαύτης ἐμνήσθη γυναικὸς 210, d. ἐξὸν αὐτοῖς λαμβάνειν ἐν ταῖς αὑτῶν πόλεσι γυναῖκας τὰς πρωτευούσας 216, a. ὥστε καὶ ταῖς γυναιξὶ ταῖς αὐτῶν ὑπὸ τούτου (pulchritudine scil.) κρατουμέναις συγγνώμην ἔχουσι 218, a. εἴ τινες τούς τε παῖδας καὶ τὰς γυναῖκας αἰσχύνοιεν p. 482, 268. οὐδ' αἰσχύνας γυναικῶν καὶ παίδων οὐδεὶς ἂν ἐπιδείξειεν 287, b. ὁ γὰρ πατὴρ πρὸς γυναικῶν (a parte mulierum) ἦν Ἀλκμαιονιδῶν 351, c. ἄλλαις γυναιξὶν συνεγένετο 385, d.

τὸ δαιμόνιον numen. τίμα τὸ δαιμόνιον ἀεὶ 4, d. τὸ δαιμόνιον ὑποβαλεῖν χρὴ νομίζειν existimandum est ea accepta dei alicujus benevolentiæ referenda esse 112, c.

δαιμόνιος] ὑπὸ δαιμονίας προστεταγμένον δυνάμεως ἔθος 268, d. ἐμμένειν τοῖς νόμοις τοῖς ὑπὸ τοῦ δαιμονίου κατασταθεῖσιν 269, c.

δαίμων] δαίμονα προσαγορεύοντες. deum appellantes 72, c. τοσαύτην ὁ δαίμων ἔσχεν αὐτοῦ πρόνοιαν 193, d. δαίμων θνητὸς 203, e.

δακρύειν] δακρύειν ἀξιοῦσι. lachrymari non dedignantur 76, a.

δάκρυον] μετὰ πόθου καὶ δακρύων ποιεῖσθαι τὴν ἀπαλλαγὴν p. 441, 94.

δαμᾶν] οὕτω δὲ †δεδαμασμένοι ταῖς συμφοραῖς εἰσὶν 129, d.

δανείζειν] ἀλλ' ἥδιον ἑώρων τοὺς δανειζομένους ἢ τοὺς ἀποδιδόντας. sed libentius videbant eos qui mutuum petebant quam qui reddebant 146, d. 153, d. e. 365, e. 366, c. 401, b. πείσας τοὺς Ἀμφικτύονας δανεῖσαι τῶν τοῦ θεοῦ χρημάτων αὐτῷ p. 477, 248.

δαπανᾶν] καὶ τοῖς ἐπιγιγνομένοις (posteris) πλείονος ἄξια τῶν δεδαπανημένων καταλείψεις 18, e.

δαπάνη] πράγματα πολλῆς ἐπιμελείας δεόμενα καὶ φυλακῆς καὶ δαπάνης 33, b. τὰ μὲν (spectacula scil.) ταῖς δαπάναις ὑπερβάλλοντα (sumptibus excellentia) κέκτηται 49, d. ταῖς ἐκ τῶν ἰδίων δαπάναις. privatis sumptibus 93, b. τὴν δαπάνην ἠνέγκαμεν 311, b.

δασμολογεῖν tributa exigere. οἷς οὐκ ἐξαρκεῖ δασμολογεῖσθαι. quibus non sufficit ut exactionibus vexentur 66, c. δασμολογεῖν τοὺς νησιώτας. insulares exactionibus vexare 68, a. 184, c. 168, d. 422, a.

δασμὸν τῆς πόλεως δὶς ἑπτὰ παῖδας ἀποστελλούσης 213, b.

δέησις] ἱκετείας καὶ δεήσεις ποιούμενοι 186, d.

δεῖγμα] ὥσπερ πρὸς *δεῖγμα τοῦτ' ἀναφέρων 176, e. ὥσπερ δείγματι τοῖς τοιούτοις χρώμενοι 425, d.

δείδειν, δεδιέναι] τίνες δ' οὐκ ἂν ἐκπλαγεῖεν καὶ δείσαιεν 131, d. ὅπερ ἄξιόν ἐστι δεδιέναι 160, a. ἔφασαν δεδιέναι μὴ κἀγὼ προσαπόλωμαι 390, b. 129, e. 144, b. φοβεῖσθαι καὶ δεδιέναι 97, b. 242, d.

δεικνύναι] ὑπολαβὼν οὐδενὸς ἔλαττον ἁμάρτημα τοῦτο †δείξειν εἶναι 251, b.

δεῖν] οἷς *δεῖ παραδείγμασι χρώμενος ὀρέγεσθαι τῆς καλοκαγαθίας 13, a. τοσούτου γὰρ δέω τῶν ἀλλοτρίων ἐπιθυμεῖν 33, d. ἡμεῖς δὲ τοσούτου δέομεν συγκρούειν τι τῶν ἐκείνου πραγμάτων. nos autem tantum abest ut ullas illius res conturbemus 68, b. μικροῦ δεῖν. parum abfuit quin 70, e. εἰδὼς μὲν τὸν λόγον τοῦτον οὐ τῆς ἡλικίας τῆς ἐμῆς δεόμενον, ἀλλ' ἀνδρὸς ἀνθοῦσαν τὴν ἀκμὴν ἔχοντος. probe sciens talem orationem ætate non mea indigere, sed viro ætatem florentem qui habeat 84, c. πῶς δ' οὐ †δεῖ δεδιέναι 143, c. οὐδὲν παραλείπων ὧν προσεῖναι *δεῖ τοῖς βασιλεῦσιν 198, b. ταῦτα δ' ᾠήθην *δεῖν σοὶ μὲν ἐπιστεῖλαι 221, a. εἰ γὰρ μηδὲν *δέονται χρηστοὺς αὐτοὺς εἶναι 229, d. ἱκετεύοντες, δεόμενοι, τοὺς παῖδας καὶ τοὺς φίλους ἀναβιβαζόμενοι 345, d. πολλῆς ἐπιμελείας αὐτοὶ δεόμενοι παιδεύειν τοὺς ἄλλους ἐπιχειροῦσιν 293, e. Κλεάρχου μηδὲν πώποτ' ἐδεήθην 423, d. οἶμαι δὴ †δεῖν καθορᾶν ὅθεν ἐπλανήθην 251, a. δεῆσαν αὐτοὺς ἐκπέμψαι βοήθειαν 271, a. τοσούτου δέεις οὕτω κεχρῆσθαι τοῖς

λόγοις, ὥστε— tantum abest, ut hanc rationem in dicendo secutus sis, ut— 222, b. τοσούτου δέομεν τῶν ἴσων ἀξιοῦσθαι τοῖς ἄλλοις Ἕλλησιν, ὥστε— 297, d. οἳ τοσούτου δέουσι μιμεῖσθαι τὴν πραότητα τὴν ὑμετέραν, ὥστε— 300, a. παρὰ μικρὸν †ἐδέησα ἄκριτος ἀποθανεῖν 367, b. ὥστε †δεῖν δημόσιον 372, a. †δεῖ δὲ τοὺς ἐπὶ τῷ βελτίστῳ παρρησιαζομένους πολλὰ σώζειν δύνασθαι 414, c.

δεινὸς] πῶς δ' οὐκ ἂν δεινὰ πάθοιμεν. quomodo vero non indigna pateremur 61, c. τοῖς σώμασι δεινότερα πάσχουσι τῶν παρ' ἡμῖν ἀργυρωνήτων. corporibus graviora patiuntur, quam qui a nobis ære emuntur 66, c. e. ὃ δὲ πάντων δεινότατον 67, b. *201, e. *305, b. 306, c. δεινὸς πρὸς τὸ πλεονεκτῆσαι. plus adipiscendi avidissimus 192, e. δεινὸς καὶ λέγειν καὶ πράττειν p. 467, 204. δεινοὶ περὶ τοὺς ἀγῶνας. in litibus agendis solertes 233, b. λέγειν καὶ πολιτεύεσθαι δεινοί. tam in dicendo quam remp. gerendo solertes 294, a.

δεινότης] τὴν δεινότητα τὴν ἐν τοῖς λόγοις ἀσκεῖν 1, d. τῆς μὲν ἀνδρίας καὶ τῆς δεινότητος καὶ τῶν ἄλλων εὐδοκιμούντων μετέχοντες. fortitudinis et solertiæ et cæterarum rerum laudatarum participes 35, d. εἴπερ ἡ περὶ τοὺς λόγους δεινότης ποιεῖ τοῖς ἀλλοτρίοις ἐπιβουλεύειν p. 477, 245. ἀνοσιότητι καὶ δεινότητι (impietate et atrocitate) ὑπερβάλλοντα 257, d.

δέκα] οἱ μὲν περὶ μίαν πόλιν ἔτη δέκα διέτριψαν 57, c. δέκα μόνον συνεβάλοντο τὰς τριήρεις 242, e. ἦρχον μὲν γὰρ οἱ δέκα οἱ μετὰ τοὺς τριάκοντα καταστάντες. imperabant igitur Decemviri, qui post triginta tyrannos constituti fuerunt 372, a. b.

δεκαδαρχίαι] οἱ τῶν δεκαδαρχιῶν κοινωνήσαντες. qui in Decurionum numero fuerunt 63, d. 101, c. ἐπὶ τῶν †δεκαδαρχιῶν καὶ τῆς δυναστείας τῆς Λακεδαιμονίων 246, d.

δεκάζειν] ἥν τις ἁλῷ δεκάζων. si quis ambitus sit convictus 169, d. τὰ δικαστήρια δεκάζων. judicia largitionibus corrumpens 373, b.

δεκαρχία] ἐπὶ τῶν *δεκαρχιῶν καὶ τῆς δυναστείας τῆς Λακεδαιμονίων 246, d.

δελεάζεσθαι] ὅμοια πάσχοντες τοῖς δελεαζομένοι· τῶν ζώων. eadem patientes quæ feræ inescatæ 166, a.

δέον] μέλλοντές τι τῶν δεόντων ποιήσειν 17, e. ἀλλ' ἕκαστον ἐν τῷ δέοντι πράττουσιν. sed unum quodque juxta quod convenit agunt 30, e. πράττειν τι τῶν δεόντων 30, b. οὐδὲν τῶν δεόντων πράττοντες 32, a. συμβαίνει τι τῶν *δεόντων ἡμῖν 137, a. πάντα τὰ δέοντα πράττοντες 142, a. πολὺ τοῦ δέοντος ἐν ἀμφοτέροις τοῖς λόγοις διήμαρτες 222, b. περὶ τῶν παρόντων μηδὲν τῶν δεόντων μητ' εἰπεῖν μήτε συμβουλεῦσαι δυνάμενοι 292, c. μέρος τι καὶ δι' ἐμὲ γίγνεται τῶν δεόντων αὐτῷ. pars aliqua eorum quæ illi conveniunt etiam per nos præstatur 423, c. λέγοντές τι τῶν δεόντων. dicentes aliquid eorum quæ conveniunt 405, a. ἔστι δὲ πρὸς μὲν ἄλλο τι τῶν δεόντων ἀπλήστως ἔχειν οὐ καλὸν 412, c. p. 617, 19.

δέος. timor 20, e. 388, b. ἐπαυσάμην τοῦ δέους καὶ τῆς ταραχῆς ταύτης p. 461, 180.

δερμάτινος] ἔτι τὸν θύλακον ἔχεις δερμάτινον. adhuc saccum habes pelliceum p. 618, 1.

δεσμὸς] καὶ μητέρων *δεσμοὺς κατ' αὐτῶν ἐλογοποίησαν 229, a.

δεσπόζειν] ἡττηθέντες ὧν πρότερον ἐδέσποζον. ab iis victi quibus prius pro lubitu imperârunt 91, d.

δεσποτεία] βαρβαρικῆς δεσποτείας ἀπαλλαγέντες 113, d.

δεσπότης] πλείστων ἀγαθῶν δεσπόται 37, b. ἁπάσης δὲ τῆς Θρᾴκης οὓς ἠβουλήθη δεσπότας κατέστησεν 86, c. ὥστε ὀλίγας ἡμέρας στερηθέντες τῶν αὐτῶν πολὺν χρόνον τῶν ἄλλων δεσπόται κατέστησαν 124, d. ὥστ' ὀλίγας ἡμέρας ἀνάστατοι γενόμενοι πολὺν χρόνον δεσπόται τῶν Ἑλλήνων κατέστησαν p. 478, 249.

δεσποτικῶς] συμμαχικῶς ἀλλ' οὐ δεσποτικῶς βουλευόμενοι περὶ αὐτῶν. sociorum more non dominorum de iis consulentes 62, c. μηδὲ δεσποτικῶς ἀλλὰ συμμαχικῶς αὐτῶν ἐπιστατῶμεν 186, a.

δεύτερος] ὥστε πρῶτος καὶ δεύτερος γενέσθαι καὶ τρίτος 353, d.

δέχεσθαι] καίτοι τίς οὐκ ἂν *δέξαιτο τῶν εὖ φρονούντων τοιαύτης πολιτείας μετέχειν 29, c. οἱ δὲ καταδεέστερον πράττοντες οὐδ' ἂν εὑρεῖν δέξαιντο μᾶλλον ἢ τὰ τῶν ἐχόντων ἀφελέσθαι. qui autem tenuiores res habent, ne quidem *bona* invenire mallent, quam eorum qui possident *bona* eripere 130, a. 141, a. ἄσμενοι δ' αὐτοὺς ἅπαντας οὗτοι δέξονται καὶ χώρᾳ πολλῇ καὶ ταῖς ἄλλαις ταῖς περὶ τὸν βίον εὐπορίαις 131, b. δεξαίμην ἂν (optarem) ἅπαντας εἰδέναι τοὺς πολίτας καὶ τὸν βίον ὃν ζῶ καὶ τοὺς λόγους οὓς λέγω 319, a. p. 616, 14. 475, 237.

δῆλος δ' ἦν οὕτω διακείμενος. me autem ita esse affectum apparebat 280, e.

δηλοῦν 27, d. ἐδήλωσαν δ' οὕτω διακείμενοι 311, a.

δηλωτέος 244, e. p. 454, 148.

δημαγωγεῖν 18, a. ταῖς εὐεργεσίαις δημαγωγῶν beneficiis popularis 215, c.

δημαγωγὸς] προχειρίζεσθε δημαγώγους 184, a. d. 185, b.

δημεύειν] ἣν ἡμῖν ἀπέδωκεν ὁ δῆμος ἀντὶ τῶν δημευθέντων χρημάτων 356, b. δημεύειν τὰς οὐσίας 423, a.

δήμευσις] αἴτιος τῆς τῶν χρημάτων δημεύσεως 375, a.

δημηγορεῖν πρὸς ἡδονὴν 160, c. ἔξω τῶν εἰθισμένων ἐπιχειρῶν δημηγορεῖν 164, d. 238, d. μήτε δημηγορῶν μήτε στρατηγῶν μήτ' ἄλλοις δυνάστης ὢν 406, b.

δημιουργὸς] τοὺς ἄλλους δημιουργοὺς (εὑρήσομεν) τῶν ἰδιωτῶν (διαφέροντας). cæteros artifices privatis præstantes inveniemus 224, e. σὺ δὲ τοιούτων δημιουργὸν ἀποφαίνεις. tu vero talium opificem eum exhibes 227, e.

δημόκοινος publicus minister, tortor. Πασίων δ' οὑτοσὶ οὐ δημοκοίνους ἔφασκεν αὐτοὺς ἑλέσθαι. hicce autem Pasion eos non tanquam tortores delectos esse dicebat 361, d.

δημοκρατεῖσθαι] διὰ τὸ δημοκρατεῖσθαι κακῶς ἐχρησάμεθα τοῖς πράγμασι 178, c. δημοκρατουμένης τῆς πόλεως 398, e.

δημοκρατία] ἐν δημοκρατίᾳ πολιτευόμενον τὸ πλῆθος δεῖ θεραπεύειν 10, b. αἱ μὲν τοίνυν ὀλιγαρχίαι καὶ δημοκρατίαι τὰς ἰσότητας τοῖς

μετέχουσι τῶν πολιτειῶν ζητοῦσι. at vero oligarchiæ et democratiæ poscunt ut sint æquales ii qui civitatum sunt participes 29, d. τὰς δημοκρατίας ἐπαινῶν, οὐ πάσας, ἀλλὰ τὰς καλῶς καθεστηκυίας 152, a. τὴν δημοκρατίαν εἰδότες ἐν ταῖς ἡσυχίαις καὶ ταῖς ἀσφαλείαις αὐξανομένην καὶ διαμένουσαν 169, d. ἐγὼ δὲ φημὶ τὰς μὲν ἰδέας τῶν πολιτειῶν τρεῖς εἶναι μόνας, ὀλιγαρχίαν, δημοκρατίαν, μοναρχίαν 259, e. ὅτ᾽ οὐκ ἦν οὔτ᾽ ὀλιγαρχίας οὔτε δημοκρατίας ὄνομά πω λεγόμενον 257, b. τὴν δημοκρατίαν δὶς καταλυθεῖσαν ἐπείδομεν 345, b. τὴν δημοκρατίαν ἐκείνην κατέστησε τὴν αἰτίαν τοῖς Ἕλλησι τῶν μεγίστων ἀγαθῶν γενομένην p. 477, 248. † δημοκρατίας οὔσης 398, e. εἴ τις τὴν δημοκρατίαν τολμῴη καταλύειν 347, e.

δῆμος] τὸν δῆμον καταγαγὼν 143, a. ἔδοξε τῷ δήμῳ 153, e. φιλεῖν τὸν δῆμον φάσκοντες 183, d. ὥσθ᾽ ὁ μὲν τὸν δῆμον καθίστη κύριον τῆς πολιτείας 215, b. διελόμενοι τὴν μὲν χώραν κατὰ δήμους. divisa regione quidem in municipia 149, a. προβολὰς ἐν τῷ δήμῳ ἐποίησαν 344, b. καταλελυμένου τοῦ δήμου 350, a. τῶν μὲν τοιούτων πραγματειῶν ἀτέλειαν τῷ δήμῳ διδούσας δημοκρατίας 263, c. φαίνεται γὰρ ὁ δῆμος ταῖς μὲν ἄλλαις πολιτείας ταῖς οὐκ ἀρεσκούσαις μαχόμενος καὶ καταλύων 263, d. τελευτῶν τὸν δῆμον κατέλυσε καὶ τύραννον αὑτὸν κατέστησεν 263, e. προστάτης τοῦ δήμου καταστὰς p. 477, 247.

δημοσίᾳ] ἐπὶ τοῖς δημοσίᾳ θαπτομένοις (super publico sepultos sumptu) πολλάκις εἰρήκασι 55, d. τὰς μὲν ἰδίας ὁμολογίας δημοσίᾳ κυρίας ἀναγκάζετε εἶναι 376, a.

δημόσιος] τοὺς μὲν τάφους τοὺς δημοσίους τῶν πολιτῶν ἐμπλήσαντες 176, d. δημόσιον γίγνεσθαι. ut publicaretur 372, a.

δημότης] ὑπὸ τῶν φυλετῶν καὶ δημοτῶν προκριθέντες 263, a.

δημοτικὸς] Σόλων ὁ δημοτικώτατος 143, a. (bis.) δημοτικωτέραν ἐνόμιζον εἶναι ταύτην τὴν κατάστασιν 144, b. δημοτικὸς μὲν ὢν τῇ τοῦ πλήθους θεραπείᾳ 198, b. 151, e. 161, c. 181, c. 185, e.

διὰ cum gen. *sub.* ὅταν δι᾽ ἑνὸς ποιήσηται τοὺς κινδύνους. quando sub unius auspiciis pericula adeat 31, d. † δι᾽ ὧν τὰ προειρημένα γέγονεν 203, a. cum gen. pro adv. οἱ διὰ τέλους τυραννευόμενοι. qui perpetuo regibus parent 31, e. 313, d. 321, a. 175, d. p. 473, 231. οἱ δὲ διὰ * ταχέων ἐμπλησθήσονται 130, b. 275, b. 423, b. e. διὰ βραχέων 297, c. διὰ μακροτέρων 257, b. 297, c. cum accus. *propter.* τοῖς σπουδαίοις οὐχ οἷόντε τῆς ἀρετῆς ἀμελεῖν * διὰ τὸ πολλοὺς ἔχειν τοὺς ἐπιπλήττοντας, (reprehendentes) 12, d. * διὰ τοὺς ἐπὶ τῷ βελτίστῳ παρρησιαζομένους πολλὰ σώζονται 414, c.

διαβαίνειν] ἐξὸν αὐτοῖς προτέροις διαβᾶσιν εἰς τὴν ἤπειρον—cum iis licuisset, si prius transiissent in continentem—75, b. εἰς τὴν Ἀσίαν διαβεβηκὼς 94, d.

διαβάλλειν] ὥστε μηδ᾽ ἂν τις βούληται ῥᾴδιον ὑμᾶς εἶναι διαβαλεῖν. ut etiam si quis velit, non facile fuerit vosmet criminari 37, d. πρὸς τοὺς Ἕλληνας διαβληθέντες 124, b. οὐ διαβάλλειν ἑτέροις ἐπιθυμῶν 173, c. οὐδὲν γὰρ κωλύει † διαβαλεῖν τὸν λόγον 263, e. ἵνα δὲ μὴ δοκῶ τὰς μὲν τῶν ἄλλων ὑποσχέσεις † διαβάλλειν 295, e. οἱ συκοφάνται διαβάλλουσι καὶ πράγματα παρέχουσιν ἡμῖν p. 479, 257.

διαβιβάζειν] Θίβρων δὲ ὀλίγῳ πλείους τούτων διαβιβάσας (Thibro vero paulo plures hisce cum trajecisset) τὴν Λυδίαν ἅπασαν ἐπόρθησεν 70, d. ἧς ἡμεῖς ὅταν κρείττω διαβιβάσωμεν. quibus *copiis* nos quando præstantiores transvexerimus 75, d.

διαβολὴ] ἀλλ᾽ ὑπομένομεν τὴν μὲν πόλιν διαβολὰς ἔχουσαν 184, c. τῆς ὑπαρχούσης αὐτὸν διαβολῆς ἀπήλλαξας 222, c. ὁρᾷ γὰρ ὑμᾶς λίαν ταχέως ἀποδεχομένους τὰς αἰτίας καὶ τὰς διαβολὰς 315, c. ἀπολύεσθαι τὴν διαβολὴν τὴν λεγομένην περὶ ἡμῶν 321, c. ὑπὲρ ὧν ἐπαίνου τυγχάνειν ἄξιος ἦν μᾶλλον ἢ διαβολῆς p. 457, 164. 460, 175. λέγοντες ὡς ἔστι μέγιστον κακὸν διαβολὴ 313, e. χρόνῳ δ᾽ ὕστερον διαβολῆς πρὸς Σάτυρον γενομένης 359, a.

διαγγέλλειν] τὰ * διηγγελμένα περὶ τοῦ πατρός σου συμβάλλονται μεγάλην πίστιν 421.

διάγειν] διάγειν τὸν βίον. vitam agere 34, d. μετὰ πλείστων ἀγαθῶν τὸν βίον διάγομεν 27, a. ἐν ὁμονοίᾳ διάγειν (βίον om.) 35, b. καὶ μηδετέρους ἀθύμως διάγειν. et neutri voluptate carerent 49, c. οὐκ ἠμελημένως * διάξουσιν ἐν τοῖς Ἕλλησιν 426, d.

διαγίνεσθαι] μηδενὸς ἄλλου φροντίζοντες ἢ τοῦ διαγενέσθαι καὶ περιποιῆσαι σφᾶς αὐτούς. nihil aliud curantes quam ut vitam producant et seipsos servent 135, a.

διαγινώσκειν] τοὺς φίλους ἐν ταῖς ἀτυχίαις διαγιγνώσκομεν (dignoscimus) 7, b. κἀκεῖθεν ῥᾴδιον τὴν διάνοιαν † διαγνῶναι τὴν ἐμὴν 151, e. ῥᾴδιον δὲ † διαγνῶναι τὴν δύναμιν αὐτοῦ 216, d. οὐ γὰρ δή που τὸν τυχόντα διαγνῶναι κύριον ἐποίησαν. non enim *de iis rebus* ut *pro lubitu* decerneret quemlibet arbitrum fecerunt 217, b. ἀναγκαίως ἂν εἶχεν εἰκάζοντας ὑμᾶς ἐκ τῶν εἰρημένων διαγιγνώσκειν ὅπως ἐτύχετε περὶ τῶν πεπραγμένων. necesse esset, ut conjectura utentes, ex iis quæ dicta essent de rebus gestis utcunque decernere 320, e.

διάγνωσις] τὸ γὰρ ἀφανὲς ἐκ τοῦ φανεροῦ ταχίστην ἔχει τὴν διάγνωσιν 9, c. τῶν μὲν σωμάτων οὐ δυνηθεὶς λαβεῖν διάγνωσιν 216, c.

διαγωγὴ] πρὸς τὰς ἄλλας χρήσεις καὶ διαγωγὰς ἀφυεῖς παντάπασιν. ad alios usus et vitæ instituta prorsus inepti 413, a.

διαγωνίζεσθαι] πρὸς ἐκείνους ἐκ τοῦ φανεροῦ διαγωνίσασθαι 71, c. διαγωνιζόμενοι πρὸς ἀλλήλους καθ᾽ ὑπερβολὴν p. 456, 158.

διαδιδόναι] διαδοθέντος τοῦ λόγου. hac edita oratione 83, d. τούτων γὰρ γραφέντων καὶ διαδοθέντων p. 440, 93. ἦν δ᾽ ὅμοια τοῖς πρότερον διαδεδομένοις. si vero similia olim editis hæc esse videantur 112, c. διαδοθέντες ἐν ταῖς τῶν εὖ φρονούντων διατριβαῖς. editæ (orationes) inter eruditorum congressus 204, b. διέδωκε παρ᾽ αὑτοῦ μισθὸν τοῖς στρατιώταις 350, d.

διαδιδράσκειν] ἐκεῖθεν διαδρὰς ἐν Βοιωτοῖς διῃτᾶτο. inde elapsus apud Bœotos commoratus est 380, d.

διαδοτέος] πότερον ἀφανιστέος παντάπασίν ἐστιν ἢ διαδοτέος τοῖς βουλομένοις λαμβάνειν. utrum hæc oratio prorsus celanda esset, an iis qui eam accipere vellent tradenda 281, b.

διάδοχοι τῆς κληρονομίας 393, a.

διάθεσις] τῇ τῶν περιόντων διαθέσει. rerum quæ supersunt exportatione 224, b.

διαθρυλεῖν] ὅτι λέγω τοὺς πάλαι παρ' ὑμῖν διατεθρυλημένους. quod eas orationes dicam quæ olim apud vos vulgo decantatæ sunt 321, b.

διαιρεῖν] τῶν συμφορῶν τάς τε δι' ἀμαθίαν καὶ τὰς ἐξ ἀνάγκης γιγνομένας διεῖλε. calamitatum eas quæ per inscitiam ab iis quæ per necessitatem oriuntur distinxit (philosophia scil.) 50, b. τριχῇ διείλοντο τὰς βασιλείας. regna trifariam diviserunt 120, a. διελόμενοι τὴν μὲν πόλιν κατὰ κώμας. divisa urbe quidem in plateas 149, a. διελόντες κατὰ τάλαντον. quum pecuniam in singula talenta distribuissent 175, c. διελὼν τοῦ τείχους πυλίδα. parva muri porta perfracta 194, d. διελόμενος χωρὶς ἑκάστους. singulis seorsim distributis 224, c. διελόμεναι κατεδουλώσαντο πάσας αὐτάς. partitæ omnes illas servitute oppresserunt 252, e. διαιροῦντες οὐκ ὀρθῶς. non recte dividentes 236, c. πρὸς Ἀργείους καὶ Μεσσηνίους διείλοντο (partiti sunt) τὴν χώραν 241, c. 270, a. 286, c.

διαιρετικώτατος πέφυκε τῶν ἀρετῶν χωρισμός. et a virtutibus maxima separatio a natura est p. 618, 1.

δίαιταν ἐπὶ ῥητοῖς ἐπέτρεπε Σατύρῳ. arbitrium certis conditionibus Satyro permisit 362, d. καὶ προσέτι δίαιταν ἀποδείξω ἡμῖν γεγενημένην περὶ αὐτῶν 371, d.

διαιτᾶσθαι] ἐκεῖθεν διαδρὰς ἐν Βοιωτοῖς διῃτᾶτο. inde elapsus apud Bœotos commoratus est 380, d. διαιτηθεὶς ἐν πολλαῖς πόλεσιν 385, d.

διαιτητὴς] μηδ' εἶναι μήτε διαιτητὴν μήτε δικαστὴν 315, d. ἐμὲ δ' οὐδεὶς πώποθ' ἑώρακεν οὔτ' ἐν τοῖς συνεδρίοις οὔτε περὶ τὰς ἀνακρίσεις οὔτ' ἐπὶ τοῖς δικαστηρίοις οὔτε πρὸς τοῖς διαιτηταῖς 318, a. Νικόμαχον εἵλετο διαιτητὴν 374, a.

διακαρτερεῖν. perseverare 369, e.

διακεῖσθαι] οὕτω διάκεισο τὴν γνώμην ita sis animo affectus 17, c. ἡδέως ἂν οὖν πυθοίμην τῶν οὕτω διακειμένων 26, a. διακεῖσθαι τεταραγμένως p. 480, 462. τραχέως p. 495, 325. ὀλιγώρως ibid. οἰκείως 359, c. ταραχωδέστατα 160, c. πρὸς ἅπαντας τοὺς λόγους δυσκόλως διάκεινται. in eloquentiam universam iniquo sunt animo 27, c. 149, e. 161, e. 237, d. διακεῖσθαι πρὸς τοὺς ἄρχοντας 28, d. τίνα τρόπον ἡ πόλις *διέκειτο 174, a.

διακελεύειν] πολλάκις σοι διακελεύομαι περὶ τῶν αὐτῶν 206, e. τοσοῦτον ὑμῖν ἔτι διακελεύομαι μνημονεύειν 379, e.

διακινδυνεύειν. periclitari 48, a. διακινδυνεύειν τοιοῦτον κίνδυνον 92, a.

διακολακεύεσθαι] διακολακευόμεναι πρὸς τὸν ἐκείνου πλοῦτον. illius opibus *cum quadam contentione* adulantes 266, b.

διακομίζειν transferre 80, c.

διακόσιοι] διακόσια καὶ χίλια στάδια διελθεῖν. ducenta et mille stadia percurrisse 58, c. ὃς οὔπω διακόσι' ἔτη κατέσχηκε τὴν ἀρχὴν 121, b. τριήρεις συναγαγὼν †διακοσίας καὶ χιλίας 242, d. ἣν (Σάμον) Περικλῆς ἀπὸ διακοσίων νεῶν καὶ χιλίων ταλάντων κατεπολέμησε p. 446, 118. τελευτῶν δ' οὖν ἐπείσθην δοῦναι τούτῳ διακοσίας δραχμὰς 373, b.

διακριβοῦν] τάχ' ἂν ἐάσαντες τὸ διακριβοῦσθαι περὶ τούτων ἐπὶ τὸ συμφέρον ἔλθοιεν. forsan omissa de his rebus accurata disputatione, ad id quod expedit, accedent 44, c. διακριβοῦσθαι περὶ ἑκάστου p. 462, 184. διακριβώσαντες ἐν τούτοις πάλιν γυμνάζουσιν αὐτοὺς p. 465, 197. 468, 205. 419, d.

διακωλύειν] εἰ Θηβαίους μὲν μὴ διακωλύσετε παραβαίνοντας τοὺς ὅρκους 305, a.

διαλαμβάνειν] αἱ γὰρ πολιτεῖαι, δι' ὧν οἰκοῦσι τὰς πόλεις, οὕτω τοὺς πλείστους αὐτῶν διειλήφασιν. formæ enim rerump. secundum quas civitates administrant, ita eorum plerosque distinxerunt 44, a. οὐδὲν γὰρ κωλύει *διαλαβεῖν τὸν λόγον 263, e.

διαλάμπειν] καὶ τῶν ἄλλων ἰδεῶν τῶν ἐν ταῖς ῥητορείαις διαλαμπουσῶν γέμοντες. cæterisque figuris quæ in Rhetorica effulgeant referti 233, b.

διαλανθάνειν] οὐδὲ γὰρ ἐμὲ τοῦτο διέλαθεν 11, d. οὐδὲ γὰρ ἐμὲ τοῦτο †διέλαθεν 22, e. ἐν ᾗ μὴ διαλήσει χρηστὸς ὢν 29, c. ἣν ὡς πλεῖστον χρόνον *διαλάθῃς 285, a.

διαλέγεσθαι disputare. οἵτινες ἂν αὐτοὶ πρὸς αὐτοὺς ἄριστα περὶ τῶν πραγμάτων διαλεχθῶσιν 28, b. e. διαλεχθῆναί σοι προειλόμην 85, a. *διαλεχθῆναι πρὸς ὑμᾶς 119, a. πάντες εἰώθασι πρὸς μὲν τοὺς ἀμυνομένους περὶ τῶν δικαίων διαλέγεσθαι. omnes cum iis quidem qui vim propulsant de jure disputare solent 123, d. διελέγοντο πρὸς σφᾶς αὐτοὺς 281, c. d. 282, a. ἣν ὡς πλεῖστον χρόνον †διαλεχθῇς 285, a. πλείω διαλεχθεὶς τῶν μετρίων 237, c. οὐκ ἂν δι' ἐπιστολῆς διελεγόμην 412, c.

διαλείπειν intermittere. κἂν μηδεμίαν ἡμέραν διαλείπῃς 25, d. διὰ τὴν τότε γεγενημένην στρατείαν τοσοῦτον διέλιπον. ob expeditionem tunc susceptam adeo longe recesserint 55, a. χρόνον ὀλίγον διαλιποῦσα. brevi tempore interjecto 84, a. μικρὸν διαλιπόντες 142, b. πολὺν χρόνον διαλιπὼν 314, b. cum part. ποῖον δὲ χρόνον διαλελοίπασιν ἐπιβουλεύοντες τοῖς Ἕλλησιν. quo autem tempore destiterunt Græcis insidiari 73, b. οὐδένα δὲ χρόνον διαλείπουσιν ἢ στρατεύοντες ἐπί τινας ἢ μαχόμενοι πρός τινας 92, a. ὅταν γὰρ οἱ πολέμιοι διαλίπωσι κακῶς αὐτοὺς ποιοῦντες 92, c. ἀλλήλοις μὲν κακὰ παρέχοντες οὐδεμίαν ἡμέραν *διαλείπομεν 156, d. οὐδένα διαλέλοιπα χρόνον ὑπὸ τῶν σοφιστῶν διαβαλλόμενος 233, d. elabi. τριῶν γὰρ ἢ τεττάρων ἡμερῶν διαλειφθεισῶν 281, a.

διαλεκτέος] πρὸς τοῦτον διαλεκτέον 405, d.

διάλεκτος] ὥστ' οὐδὲ τοῖς ὀνόμασιν ἐν τῇ διαλέκτῳ ἔνιοί τινες ἔτι χρῶνται κατὰ φύσιν p. 490, 302.

διαλλαγὴ] ἐπὶ τὰς διαλλαγὰς τὰς πρὸς τοὺς βαρβάρους ὥρμησαν. in pacificationem cum Barbaris accesserunt 60, b.

διαλλάττειν] πρὸς δὲ τοὺς ὅπως ἠδυνάμην περὶ τῶν ἐγκλημάτων διαλλαττόμενος. cum aliis vero ut potui controversias componendo 33, d. 362, e. 363, e. χρὴ σκοπεῖν ὅπως μὴ τοὺς πρότερον μισοῦντας τὴν ἀρχὴν τὴν Λακεδαιμονίων ἡ τούτων ὕβρις διαλλάξει.

spectandum est ne illos qui prius Lacedæmoniorum imperium oderunt, horum insolentia reconciliet 299, d. διήλλαξε τοὺς πολίτας 350, d.

διαλογίζεσθαι] ἃ χρὴ * διαλογισαμένους μὴ φιλοψυχεῖν 134, d.

διάλογος] [λέγω τοὺς διαλόγους τοὺς ἐριστικοὺς καλουμένους] 238, b.

διαλύειν] καὶ τὰς μὲν τῶν φαύλων συνηθείας ὀλίγος χρόνος διέλυσε 1, a. μὴ περιΐδῃς τὴν σαυτοῦ φύσιν ἅπασαν ἅμα διαλυθεῖσαν. ne negligenter sinas ut natura tua simul omnis dissolvatur 22, b. τὰ πλεῖστα τούτων διέλυσα 33, c. διαλυσάμενοι τὰς πρὸς ἡμᾶς αὐτοὺς ἔχθρας 43, e. οὐ γὰρ διαλυόμεθα τοὺς πολέμους ἀλλ' ἀναβαλλόμεθα. non enim componimus bella, sed differimus 76, d. βουλόμενος † διαλύσασθαι τὰς ὑπὲρ ἐκείνου διαβολὰς 228, d. διαλύεσθαι πειρᾶται τὰς διαφοράς. conatur ut dissentiones componat 266, d. ἀπεδεξάμην οὐχ ὡς * διαλυόμενόν τι τῶν κατηγορημένων acquievi, non quod ullum accusationis caput diluisset 278, b. ἵνα δὲ μὴ δοκῶ τὰς τῶν ἄλλων ὑποσχέσεις * διαλύειν 295, e.

διαλυμαίνεσθαι] τὰς αὐτῶν πατρίδας * διαλυμηνάμενοι 63, d.

διάλυσις] οἵαν περ ἂν τοῦ πολέμου ποιήσωνται τὴν † διάλυσιν 126, d.

διαμαρτάνειν] ἐκεῖνά τε γὰρ (τὰ ἅρματα scil.) ἀτάκτως φέρεται διαμαρτόντα τῶν εὐθυνούντων 9, a. διαμαρτάνειν τῆς δόξης 12, a. καὶ τοσοῦτον διημαρτήκασιν 27, c. εἰ μὲν γὰρ διαμάρτοιτε τῆς ἐμῆς γνώμης. si enim a mea sententia aberretis 29, a. τῶν ἐλπίδων ἁπάσων διημαρτηκότες. spe omni frustrati 60, a. διαμαρτὼν δὲ τῆς ἐπιβουλῆς. cum autem insidias minus prospere struxisset 71, c. λέγων ὡς ἀμφότεροι διαμαρτάνετε τῶν πραγμάτων. dicendo, quod utrique a rerum veritate seu ab utilitate aberraretis 82, c. ὡμολόγουν δὲ μηδενὸς πώποτε τοσοῦτον πράγματος διαμαρτεῖν 87, a. οὐδεὶς αὐτῶν διήμαρτεν 216, b. πολὺ τοῦ δέοντος ἐν ἀμφοτέροις τοῖς λόγοις διήμαρτες 222, b. κατὰ τὸν σὸν λόγον δυοῖν τοῖν αἰσχίστοιν οὐ διαμαρτάνουσιν 229, d. ἀλλ' ἐπειδὴ τοῦ πολιτεύεσθαι διήμαρτον 235, a. τῶν καιρῶν μὴ διαμαρτεῖν 294, c. διημαρτηκότες ἀμφοτέρων ἡμῶν. de utroque nostrum *a vero judicio* errantes 280, d.

διαμαρτυρεῖσθαι] οὐχ ἑλὼν τὰ διαμαρτυρηθέντα quòd in accusatione perscripta non obtinuerit 374, b.

διαμέμφεσθαι] διαμεμφόμενοι τοὺς φιλοσοφοῦντας 26, a.

διαμένειν] ἐπὶ ταῖς αὐταῖς πράξεσι συνεχῶς * διαμένοντες 224, d. τὴν δημοκρατίαν εἰδότες ἐν ταῖς ἡσυχίαις καὶ ταῖς ἀσφαλείαις αὐξανομένην καὶ διαμένουσαν 169, d.

διαναγιγνώσκειν] διαναγνοὺς τὸν λόγον 275, a. οἷός περ ὁ λόγος ὁ διαναγνωσθείς ἐστιν 283, a.

διαναυμαχεῖν prælia navalia tentare. προαγαγέσθαι τοὺς Ἕλληνας ἐπὶ τὸ διαναυμαχεῖν 59, c.

διανέμειν] τοῖς δὲ πονηροτάτοις τῶν Ἑλλήνων τἀκείνων διένεμον 175, a. τὴν πόλιν αὐτοῖς ἔκτισεν καὶ τὴν χώραν † διένειμεν 32, c.

διανοεῖσθαι] ὁ γὰρ κακῶς διανοηθεὶς περὶ τῶν * οἰκείων οὐδέποτε καλῶς βουλεύσεται περὶ τῶν ἀλλοτρίων 9, d. τοιαῦτα προσδοκᾶτε πράξειν, οἷ' ἂν περὶ ἡμῶν διανοῆσθε. ita vobiscum actum iri expectate, ut de nobis sentitis 39, d. πλείω προσεπιβάλλειν οἷς ἂν ἐξ ἀρχῆς

διανοηθῶσιν. plura insuper iis addere, quæ initio cogitaverant 123, d. ἃ περὶ τῶν παίδων * διενοήθησαν 216, c. οἱ μὲν περὶ τὸ διανοηθῆναι καὶ πρᾶξαι δεινοὶ γεγόνασιν. alii quidem prudentia et actionibus solertes fuerunt 413, a.

διανόημα] τῶν ἔργων καὶ τῶν διανοημάτων ἁπάντων ἡγέμονα λόγον ὄντα εὑρήσομεν. operum et cogitationum omnium ducem esse eloquentiam inveniemus 28, b. καὶ τῶν ἔργων καὶ τῶν διανοημάτων ἁπάντων εὑρήσομεν ἡγεμόνα λόγον ὄντα p. 484, 275.

διάνοια 9, b. πολλοῖς γὰρ ἡ γλῶττα προτρέχει τῆς διανοίας 11, a. τῆς τῶν θεῶν στοχάζεσθαι διανοίας 13, a. ἔτι μὲν ἐν ταῖς διανοίαις ὄντα τῶν συντιθέντων dum adhuc quidem in mentibus componentium fuerunt 16, b. τήν γε διάνοιαν τὴν ἐμὴν οἰέσθω τοῖς γιγνομένοις παρεστάναι. censeat mentem meam actionibus ipsius adesse 37, c. μηκέτι τοῦ γένους ἀλλὰ τῆς διανοίας δοκεῖν εἶναι. non amplius generis sed rationis ac mentis esse videri 51, a. ἀλλ' οὐκ ἐπὶ τούτῳ τὴν διάνοιαν ἔσχον. at in hoc animum attentum non habui 85, b. διεψεῦσθαι τῆς τε τῶν λόγων δυνάμεως καὶ τῆς αὐτοῦ διανοίας 86, d. χείρους εἰσὶ τῶν ἀνθρώπων τὴν διάνοιαν 229, e. ἐπιστὰς ἐπὶ τὰς αὐτὰς διανοίας 101, a. ἃ τυγχάνω τῇ διανοίᾳ καθορῶν 187, b. τὴν σὴν διάνοιαν ἐξηγούμενος (interpretans) 284, c. ταῖς διανοίαις πλανᾶσθαι 420, a.

διαπεπονημένως] ἐπιχαρίτως καὶ μουσικῶς καὶ διαπεπονημένως εἰπεῖν 419, b.

διαπεραίνειν] τυχὸν μὲν γὰρ ἄν τι † διεπέραναν 76, c.

διαποικίλλειν] πᾶσι τοῖς εἴδεσι διαποικίλλειν τὴν ποίησιν 190, e.

διαπονεῖν] τῶν ἀποβαινόντων ἕνεκεν διαπονεῖν 12, c. elaborare, expolire, conficere. ἀλλ' οὖν ὑπογράψειν γ' οἶμαι χαριέντως τοῖς ἐξεργάζεσθαι καὶ διαπονεῖν δυναμένοις. tamen me puto non ineleganter quasi lineas ducturum iis qui absolvere opus et elaborare possunt 99, b. οἱ περὶ τὴν γραμματικὴν καὶ τὴν μουσικὴν διαπονηθέντες p. 486, 286.

διαπρακτέος] σκέψασθαι δεῖ, τί τῷ λόγῳ καὶ τοῖς τοῦ λόγου μέρεσι διαπρακτέον ἐστὶ 419, c.

διαπράττεσθαι assequi. ἅπαντα ταῦτα διαπράξασθαι 40, a. 44, b. ἅπανθ' ὅσων ἐδεήθη διαπραξάμενος ἀπῆλθεν. omnia cum perfecisset quæ petiverat, abiit 52, e. τούτων τοίνυν οὕτω † διαπεπραγμένων 361, c. τἀναντία † διαπραξάμενοι 308, c.

διαρκεῖν] ἵν' εὐδοκιμῇς ἅμα καὶ διαρκῇς. ita ut laude celebreris simul et sumptibus faciendis quod sufficit habeas 18, d.

διαρπάζειν] τὰ δὲ τῆς πόλεως ἴδια κλέπτειν καὶ διαρπάζειν τολμῶντες 262, b. τὰς οὐσίας τὰς ἡμετέρας ἰδίᾳ διηρπάκασι 300, d. οὐχ ἵνα ὀλιγαρχίας γενομένης τἀλλότρια διαρπάζοιμεν 383, d.

διαρρεῖν] πᾶσαν τὴν χώραν διαρρέων 224, b.

διαρρήδην γράψαντες. cum disertis verbis in literas retulissent 254, e. τῶν μὲν συνθηκῶν διαρρήδην ἀφιεισῶν τοὺς ἐνδείξαντας ἢ φήσαντας. quum fœdera quidem aperte incolumes dimittant eos qui *aliquem* accusarunt aut *ad magistratus* detulerunt 375, b.

διασκαριφῆσαι. proprie de avibus dicitur quæ unguibus terram fodicant seu scalpunt. pro dissolvere usurpat Isoc. ἀλλὰ ταχέως διεσκαριφησάμεθα καὶ διελύσαμεν αὐτὰς 142, b.

διασκευάζειν] ὅταν τὴν ἡμετέραν πόλιν οὕτω * διεσκευασμένην ἴδωσιν 132, b.

διασπᾶν] διασπασθεὶς τὸν βίον ἐτελεύτησεν 229, b.

διασπείρειν] τῶν διεσπαρμένων ἐν ταῖς τῶν ἄλλων διανοίαις ἀθροῖσαι τὰ πλεῖστα 23, a. ἀλλ' ἔτι διεσπαρμένοις αὐτοῖς ἐπιχειρεῖν δεῖ 75, b. ἣν τοὔνομα τοῦτο διασπείρῃς εἰς τὴν Ἀσίαν 103, b. τούτων τῶν λόγων διασπαρέντων εἰς τοὺς Ἕλληνας 132, a. ἐκεῖ γὰρ ἄν τις ἐν πλείστοις τὴν αὑτοῦ δύναμιν διασπείρειεν. illic enim apud plurimos suam ipsius *eloquendi* facultatem quis dispergat 405, d.

διασύρειν] διασύρουσι μὲν γὰρ τὴν παιδείαν ὡς οὐδὲν ὠφελεῖν δυναμένην p. 469, 213. 396, c. 420, b. p. 494, 321.

διασώζειν] διὰ τούτων καὶ κτᾶσθαι καὶ † διασώζειν τὰς τυραννίδας μάλιστ' ἄν τις δύναιτο 19, a. τοὺς μὲν παῖδας διασώσας τοῖς γονεῦσιν ἀπέδωκεν 213, d. τούτοις ἔχω τὴν πόλιν τὴν Σπαρτιατῶν τὴν μάλιστα τὰ παλαιὰ διασώζουσαν ἔργῳ παρασχέσθαι μαρτυροῦσαν 218, d.

διατάττειν] ὧν μὴ διαταχθέντων οὐκ ἂν οἷοί τ' ἦμεν οἰκεῖν μετ' ἀλλήλων 28, a. ἀλλ' ἀναγκαίως εἶχεν οὕτω διελέσθαι καὶ διατάξασθαι περὶ αὐτῶν p. 444, 110.

διαταράττειν perturbare. διαταραττόμενοι ἐν ταῖς τοῦ βίου μεταβολαῖς 22, d.

διατειχίζειν muro munire. Πελοποννησίων διατειχιζόντων τὸν Ἰσθμὸν 59, d.

διατελεῖν] οὐ γὰρ ὀλιγωρῶν τῆς ἀρετῆς οὐδὲ ῥᾳθυμῶν διετέλεσε τὸν βίον. vitam enim ad exitum usque peregit ita ut nec virtutem contemneret, nec socordiam ageret 2, d. 203, c. cum part. τούτῳ μὲν ἐπιτάττων καὶ λυμαινόμενος ἅπαντα τὸν χρόνον διετέλεσεν. illi quidem imperare et injurias inferre per omne tempus perseveravit 52, e. 53, d. δεδιότες γὰρ διατελοῦσιν. perpetuo enim timent 92, b. οἱ μὲν ἄλλοι τὴν ἀνδρίαν ὑμνοῦντες αὐτοῦ καὶ τοὺς ἄθλους ἀπαριθμοῦντες διατελοῦσι 104, b. 108, d. 134, b. 197, d. 229, a. 243, d. 259, c. 268, a. 293, d. 294, a. p. 451, 136. 376, e. 426, a.

διατιθέναι] τὴν γνώμην διατεθῆναι animum disponere 4, c. ὁμοίως ἂν καὶ πρὸς ταύτας διατεθεῖεν. eodem etiam erga hasce essent animo 23, c. καὶ πολλῆς ἀπορίας οὔσης τὰ μὲν ὅπου χρὴ διαθέσθαι τὰ δ' ὁπόθεν εἰσαγάγεσθαι. cumque multa adesset difficultas, partim quidem quo *oporteat* quædam exportandi, partim vero alia unde *oporteat* importandi 49, a. ὅταν οὕτω διαθῇς τοὺς Ἕλληνας. quum ita Græcos disposueris *ut in te eodem sint animo* 98, a. ὁποτέροις ἂν οἰκειότερον διατεθῇ 266, c.

διατρίβειν] οὐ μὴν περί γε τὸ κράτιστον τῆς φιλοσοφίας διατρίβουσιν at quidem non circa philosophiæ partem optimam versantur 1, c. περὶ ἃ δεῖ διατρίβειν 16, b. οἱ περὶ τὴν φιλοσοφίαν † διατρίβοντες 24, e. τὸν μὲν γὰρ πλεῖστον χρόνον ἐπὶ τοῖς ἰδίοις διατρίβουσιν. tempus enim plurimum circa res privatas conterunt 30, d. περὶ τὴν

παίδευσιν τὴν τοιαύτην ἐθίζετ' αὐτοὺς ὡς μάλιστα διατρίβειν. in hujusce virtutis institutione ipsos assuefacite quam maxime versari 38, e. περὶ μικρὰ διατρίβειν. circa res parvas morari 80, d. ἢν μὴ τοῦ χρόνου τοῦ περὶ τὸν λόγον διατριφθέντος ἀξίως φαίνωμαι διεξιὼν 99, a.

διατριβὴ] ἐπ' ἐκείναις ταῖς διατριβαῖς ἔθιζε σαυτὸν χαίρειν 20, d. ποιεῖσθαι τὰς τοιαύτας διατριβὰς 26, a. τοῖς μὲν ἥδισται διατριβαὶ, τοῖς δὲ ἀσφαλεστάτη καταφυγή. alteris quidem jucundissima commoratio, alteris vero tutissimum confugium 48, e. mora. διὸ δεῖ σπεύδειν καὶ μηδεμίαν ποιεῖσθαι διατριβὴν 75, a. μετὰ ποίας ἂν ἐπιμελείας καὶ διατριβῆς εὔξαιο τὸν βίον διαγαγεῖν. quibus in studiis et exercitationibus vitam agere velles 96, a. ἅπαντας μὲν οὖν ἐπὶ τὰς αὐτὰς ἄγειν διατριβὰς οὐχ οἷόν τ' ἦν. omnes igitur ad easdem ut adducerentur exercitationes fieri non potuit 148, c. ἀποδεξαμένων δὲ τῶν περιεστώτων τὴν διατριβήν. cum autem circumstantes eorum disputationem approbassent 236, e. φημὶ πάντας ληρεῖν πλὴν τοὺς μετεσχηκότας τῆς ἐμῆς διατριβῆς (qui meæ disciplinæ participes fuerint) 237, a. 281, c. 288, a. 310, b.

διαφέρειν] τοσοῦτον καὶ ταῖς ἀρεταῖς αὐτῶν διοίσειν 17, a. οὐδὲν τῶν ἄλλων ζώων διαφέρομεν 27, d. ἐν οἷς ἔμελλον τῶν ἄλλων διοίσειν 34, e. μήτε τοῖς διενέγκουσι τὴν φύσιν ingenio excellentibus ἀργὸν εἶναι τὴν διατριβὴν 49, c. τοῖς ἄλλοις ἅπασιν αὐτῶν διηνέγκαμεν. cæteris in rebus omnibus illa (animalia scil.) superavimus 50, c. ὅσον αὕτη πολιτεία τῆς τότε * διήνεγκεν 152, c. ἐπιδείξω τοὺς προγόνους ἡμῶν ἐν τοῖς πολέμοις καὶ ταῖς μάχαις πλέον διενεγκόντας Σπαρτιατῶν ἢ τοῖς ἄλλοις ἅπασιν 269, d. οἱ τάς τε φύσεις διαφέροντες καὶ μαθεῖν πλεῖστα τῶν πρότερον εὑρημένων δυνηθέντες 276, c. τὰ γὰρ αὐτὰ πανταχῇ καὶ μηδαμῇ διαφέροντα τοῖς μὲν ὠφέλιμα τοῖς δὲ βλαβερὰ γίγνεται nam res eædem ubique et nequaquam differentes, aliis quidem utiles sunt, aliis vero nocivæ 279, c. ἐκεῖνος γὰρ τούτῳ τῶν ἄλλων διήνεγκεν p. 448, 123. διαφέροντας εἶναι τῶν ἄλλων 257, c. διαφέρεσθαι dissentire. πλεονάκις ἄν τις αὐτοὺς εὕροι διαφερομένους ἢ κοινῇ βουλευομένους 30, d. διαφερομένων δὲ τῶν στρατιωτῶν πρὸς τὰς ἀρχὰς τὰς ἐνθάδε καθεστηκυίας. dissidentibus militibus a magistratibus hic constitutis 350, a.

διαφερόντως] τὴν ὁμολογουμένην ἡμετέραν εἶναι χώραν οὐδὲν διαφερόντως κεκτημένοι τυγχάνομεν ἢ τὴν ἀμφισβητουμένην. hanc regionem, quam *ab omnibus* conceditur nostram esse, nullo alio modo nosmet acquisivimus, quam controversam illam alteram 120, d.

διαφεύγειν fugere. ἀλλὰ πολλά με διαπέφευγεν ὧν διενοήθην 80, b. τὰ μὲν ἀγαθὰ διαφυλάττουσα, τὰς δὲ συμφορὰς διαφεύγουσα (de reipublicæ forma dicitur) 261, c. πάντα τὰ τοιαῦτα διαφυγόντες ἐνέμειναν τοῖς ἤθεσιν οἷς εἶχον διὰ τὸ πολιτεύεσθαι καλῶς 274, c. ἐπειρώμην ἂν ἅπαντα τὰ τοιαῦτα * διαφεύγειν 101, a.

διαφθείρειν] ὅταν γὰρ ὁ νοῦς ὑπὸ οἴνου διαφθαρῇ 9, a. ὁρῶσι τοὺς μὲν ὑφ' ὧν ἥκιστα χρῆν διεφθαρμένους 15, e. ὅμως οὐδ' ὑφ' ἑνὸς τούτων διεφθάρην 33, b. ἀλλ' οἱ μὲν διεφθάρησαν. sed illi quidem perierunt 59, c. τριήρεις διακόσιαι αὐτοῖς πληρώμασι διεφθάρησαν.

τὸ τὰ δίκαια πράττειν 128, b. τὸ δίκαιον κρίνοντες. id quod ju-
stum est decernentes 298, d. τὸ δίκαιον ἔχοντες σύμμαχον 304, c.
μετὰ τοῦ δικαίου ποιούμενος τοὺς κινδύνους 304, d. τύχῃ μᾶλλον ἢ τῷ
δικαίῳ κρίνεται τὰ παρ' ὑμῖν 373, a. μηδενὸς δυνάμενος τῶν δικαίων
τυχεῖν 394, b. εἰ τῶν ἐν τοῖς νόμοις δικαίων ἀποστεροῖμεν ἡμᾶς αὐ-
τοὺς 398, e.

αὐτὸν δυνάμεως 71, b. τῶν θεῶν μᾶλλον ἢ τῶν ἀνθρώπων † καταφρονοῦντες 72, c. τότε μὲν γὰρ παρεκελευόμην τοῖς ἀκουσομένοις καταγελᾶν μου καὶ καταφρονεῖν 99, a. ἀντὶ τοῦ τιμᾶσθαι καταφρονηθησόμενος 135, e. ἐνόμιζε γὰρ τοὺς μὲν τούτων ὀλιγωροῦντας τυχὸν καὶ τῶν μειζόνων καταφρονήσειν 226, e. ὅστις καὶ τῶν ζώων τῶν παρ' ἡμῖν καταφρονουμένων ἔστιν ἃ σέβεσθαι καὶ τιμᾶν ἐνομοθέτησεν 226, d.

καταφυγὴ] τοῖς μὲν ἡδίστας διατριβὰς, τοῖς δὲ ἀσφαλεστάτην καταφυγὴν εἶναι παρ' ἡμῖν 48, e. οὐδεμιᾶς αὐτοῖς ἔτι καταφυγῆς ὑπαρχούσης 379, c. ῥᾳθυμοτάτην τοῖς ἁμαρτάνουσιν εὑρίσκων καταφυγὴν 230, b.

καταχαρίζεσθαι] καίτοι προσῆκεν ὑμᾶς μᾶλλον τοῖς ἐναντιουμένοις ταῖς ὑμετέραις γνώμαις προσέχειν τὸν νοῦν ἢ τοῖς καταχαριζομένοις. ad eos potius animum advertere, qui vestris sententiis adversantur, quam ad eos qui assentantur omnia 160, d.

καταχρῆσθαι usurpare. ἀνάγκη γὰρ τὰ μὲν μέγιστ' αὐτῶν ἤδη κατακεχρῆσθαι 55, d. καταχρῆσθαι ταῖς ἐμπειρίαις πρὸς τὸν βάρβαρον. peritia contra barbarum uti 77, b. ἑώρων γὰρ τοὺς περὶ τῶν συμβολαίων κρίνοντας οὐ ταῖς ἐπιεικείαις † καταχρωμένους 146, c.

καταψευδομαρτυρεῖν] ἦλθεν ἂν ἤτοι κατηγορήσων ἢ † καταψευδομαρτυρήσων 317, a.

καταψηφίζεσθαι] φανερῶς ὑμῶν αὐτῶν ἔσεσθε κατεψηφισμένοι τὴν τοιαύτην ἀδικίαν p. 493, 317.

κατειπεῖν] κατειπὼν μὲν ἤμελλε τὸν ἐπίλοιπον χρόνον ὑπὸ τούτου κάκιστ' ἀνθρώπων ἀπολεῖσθαι. si contra istum dixisset, per omne vitæ suæ tempus summam istius crudelitatem fuisse perferendam 369, e.

κατεπείγειν] περὶ σπουδαίων πραγμάτων καὶ κατεπειγόντων ῥητορεύεσθαι. de rebus gravibus et necessariis rhetorico more pronunciari 87, c. ἤν που σφόδρα κατεπείγῃ καὶ πρέπῃ sicubi res valde exegerit et decuerit 101, b. εἴ τινος πράγματος κατημελήκασι τῶν τέλος ἔχειν κατεπειγόντων. siquam rem neglexissent ex iis quæ urgebant ut conficerentur 144, e. συναγαγὼν τὰ μάλιστα κατεπείγοντα. collectis iis quæ maxime sunt necessaria 185, d. ῥηθῆναι νῦν οὐ κατεπείγοντα. quæ non in præsens dictu sunt necessaria 273, b. οὕτω τοίνυν τούτων μεγάλων ὄντων καὶ σφόδρα κατεπειγόντων p. 449, 128. αἰσχυνοίμην ἂν, εἰ ὑπὲρ τῶν μᾶλλον κατεπειγόντων μηδένα λόγον ποιοίμην 407, b.

κατεργάζεσθαι] καί τοι τί τῶν φύσει καλῶν ὄντων μελέτῃ κατεργασθὲν αἰσχρὸν ἢ κακὸν ἐστὶν p. 492, 311. ταῦτα δὲ κατεργάσασθαι πολὺ ῥᾷόν ἐστιν ἐκ τῶν νῦν παρόντων 412, e.

κατέρχεσθαι in patriam redire. ἀλλ' οἰηθεὶς πειρατέον εἶναι βίᾳ κατελθεῖν προείλετο πολεμεῖν πρὸς αὐτὴν 94, a. ἐκεῖνος μὲν οὖν τηλικούτων αἴτιος γενόμενος κατῆλθεν εἰς τὴν πόλιν 94, c. εἰδότες δὲ καὶ τὰς φυγὰς τὰς ἐπὶ τῶν τυράννων καὶ τὰς ἐπὶ τῶν τριάκοντα γενομένας οὐ διὰ τοὺς συκοφάντας κατελθούσας. quin et scientes eos, qui exilia temporibus tyrannorum et Triginta illorum passi sunt, non per sycophantas in patriam reductos esse 184, b. κατελθόντων δὲ τῶν ἐκ Πειραιῶς, ἐγὼ μόνος τὴν γῆν διὰ τὴν τῶν ἐχθρῶν δύναμιν ἀπεστερήθην 356, c. κατῆλθον οἱ φεύγοντες ἐκ Πειραιέως 372, b. ὅτι πάντες οἱ κατελθόντες ἐκ Πειραιέως ἔχοιεν ἂν τοὺς αὐτοὺς λόγους εἰπεῖν οὕσπερ οὗτος 378, c.

κατεσθίειν] σὺ καὶ κατεσθίειν αὐτὸν τοὺς ἀνθρώπους ᾐτιάσω 222, c. θύσας κατήσθιεν 223, a. τῶν ξένων τοὺς ἀφικνουμένους θύων κατήσθιεν 227, d.

κατέχειν occupare. καταποντισταὶ τὴν θάλατταν κατέχουσι 64, e. τὰς μὲν πόλεις ἁρμοσταὶ κατέχουσιν 65, a. ὃς οὔπω διακόσι' ἔτη κατέσχηκε τὴν ἀρχὴν 121, b. τῷ πολέμῳ κατεχόμενος. bello pressus 124, e. ἐντὸς μὲν τριῶν μηνῶν κατέσχεν ἅπασαν Μακεδονίαν 125, c. οἶμαι πάντας ὑμᾶς καταγνώσεσθαι πολλὴν ἄνοιαν καὶ μανίαν τῶν τὰς ἀλλοτρίας πόλεις βίᾳ κατεχόντων 162, d. ταῦτ' εἰπὼν κατέσχον πρὸς ὃν τοὺς λόγους ἐποιούμην. hæc cum dixissem, eum repressi contra quem sermonem faciebam 280, c. αὐτοὶ δὲ τὰς κτήσεις ἁπάσας τὰς ἐκείνων τότε κατασχόντες ἔτι καὶ νῦν ἔχουσιν 286, b. τοὺς γὰρ ὑπὸ σοὶ νῦν ὄντας ῥᾷον ἂν κατέχοις 410, b.

κατηγορεῖν τῆς ῥώμης 27, c. ὡς ἐκεῖνον πλέομεν ὥσπερ πρὸς δεσπότην ἀλλήλων κατηγορήσοντες 66, a. κατηγορῶν τῶν μὴ τὴν αὐτὴν ἐμοὶ γνώμην ἐχόντων 108, d. εἰ δὲ δή τις δίκαιον εἶναι φαίη τοὺς ἐπ' εὐνοίᾳ νουθετοῦντας μὴ μόνον κατηγορεῖν τῶν πεπραγμένων, ἀλλὰ καὶ— 171, d. κατηγορεῖν τρεῖς ἢ τέτταρας ἡμέρας συνεχῶς 243, e. ὁμοίως ἀκροᾶσθαι τῶν κατηγορούντων καὶ τῶν ἀπολογουμένων 314, d.

κατηγορητέος] οὐ κατηγορητέον τῶν πραγμάτων τούτων ἐστὶ 27, a.

κατηγορία] ἀλλ' ἐκ τούτων μὲν πολλαὶ κατηγορίαι κατ' αὐτῆς γεγόνασιν 112, a. εἰσὶ γὰρ οἱ τοιοῦτοι τῶν λόγων κατηγορία τῶν τὰς εὐγενείας ταῖς αὐτῶν ῥᾳθυμίαις καὶ κακίαις καταισχυνόντων 155, c. οὐ γὰρ ἰδίαν κατηγορίαν ποιούμενοι κατὰ τῆς πόλεως τῆς ἡμετέρας ἀπολωλέκασιν αὐτὴν 299, d. ὁ μὲν ἂν σοι τοσαύτην ἔχοι χάριν ὑπὲρ τῆς * κατηγορίας 222, d. οὐδὲ περὶ μὲν τῶν ἀλλήλων † κατηγορίας νομοθετήσομεν 229, b. οὐ θαυμάζω δὲ τῶν πλείω χρόνον διατριβόντων ἐπὶ ταῖς τῶν ἐξαπατώντων κατηγορίαις ἢ ταῖς ὑπὲρ αὐτῶν ἀπολογίαις 315, e. διασύρων τὴν κατηγορίαν 396, c. καίτοι χρὴ μέγα παρ' ὑμῖν δύνασθαι τῶν κατηγοριῶν οὐχ αἷς ἔξεστι χρῆσθαι καὶ πρὸς τοὺς μηδὲν ἡμαρτηκότας, ἀλλ' ἃς οὐχ οἷόν τ' εἰπεῖν ἀλλ' ἢ κατὰ τῶν ἠδικηκότων. oportet autem apud vos multum valere eas accusationes, non quibus uti licet etiam contra eos qui nihil peccarunt, sed eas quas non possibile est dicere, nisi in eos qui injurias intulerunt 379, a.

κατήγορος] ἠκούσατε δὲ καὶ τοῦ κατηγόρου λέγοντος 318, b. εἴ τις ὑμῖν ἐπιδείξειε μὴ τούτων τῶν πραγμάτων μαθητάς μου γιγνομένους ὧν ὁ κατήγορος εἴρηκε 318, e. ὥστε τούτοις χρῆσθε καὶ κατηγόροις καὶ νομοθέταις περὶ τῶν ἄλλων p. 498, 338.

κατιδὼν τὸ πλῆθος τῶν ἐνόντων εἰπεῖν 104, d. μᾶλλον δυνήσεσθε κατιδεῖν εἴ τι τυγχάνομεν λέγοντες ἄξιον ἡμῶν αὐτῶν 312, d. ἔτι δὲ τὴν φύσιν τὴν τοῦ Πειραιῶς κατιδὼν p. 496, 329.

κατιέναι redire. οἱ δ' ἀεὶ κατιέναι προσδοκῶσιν 65, a. οἱ δὲ κρατήσαντες καὶ μεθ' ὅπλων κατιόντες 153, c.

κατοικεῖν degere. ἐν μοναρχίᾳ κατοικοῦντα τὸν βασιλέα προσήκει

θαυμάζειν 10, b. εὑρήσομεν γὰρ αὐτὴν καὶ τῆς ἄλλης κατασκευῆς, ἐν ᾗ κατοικοῦμεν, σχεδὸν ἁπάσης αἰτίαν οὖσαν. eam enim et cæterarum rerum, quibus fruimur, fere omnium fuisse causam reperiemus 45, e. ὡς ἡμῶν ἄρτι τὰς πόλεις κατοικούντων quasi nos recens in his urbibus consedissemus 78, b. οὐ γὰρ ἐν τοῖς τόποις ἐν οἷς κατῴκουν, μόνον ἐπρώτευσαν 192, b. εἰς Αἴγιναν † κατοικησάμενος 389, c.

κατοικίζειν] τοῦτον τὸν τρόπον τῆς πόλεως * κατοικισθείσης 192, d. οἱ δ' ἡμέτεροι Μεσσηνίων μὲν τοὺς διασωθέντας εἰς Ναύπακτον κατῴκισαν 252, a. * κατοικισάμενος ἐν Τροιζῆνι 389, b. c.

κατοκνεῖν] μὴ κατόκνει (ne te pigeat) μακρὰν ὁδὸν πορεύεσθαι 6, a. καὶ ταῦτ' ἐὰν τολμήσωμεν καὶ μὴ κατοκνήσωμεν 131, c.

κατορθοῦν] ἔχοι δ' ἄν τις ἐπιδεῖξαι καὶ τὴν πόλιν τῶν Ἀθηναίων κατορθοῦσαν (bene rem gerentem) 31, d. ὃς ἣν κατορθωθῇ. quæ (oratio scil.) si prospere successerit 42, b. οὐ μὴν κατώρθωσαν. atqui non prosperè rem egerunt 54, d. ἐν οἷς (periculis) κατορθώσαντες μᾶλλον εἰς τὸν λοιπὸν χρόνον δουλεύσουσιν 66, d. ἀλλὰ γὰρ ἅπαντες πλείω πεφύκαμεν ἐξαμαρτάνειν ἢ κατορθοῦν. sed omnes ita a natura facti sumus ut sæpius peccemus quam recte agamus 89, b. ἀλλ' ἐὰν καὶ κατορθώσωσι περί τινας τῶν πράξεων 142, a. ἐγὼ δὲ καὶ τῶν ἰδιωτῶν τοὺς ὀλίγα μὲν κατορθοῦντας πολλὰ δ' ἐξαμαρτάνοντας μέμφομαι. ego vero etiam privatos homines, qui pauca recte agunt, in multis delinquunt, accuso 154, c. πολλῶν αἴτιαι γεγενῆσθαι τοῖς μὲν ἡττηθεῖσι κακῶν τοῖς δὲ κατορθώσασι λημμάτων. quæ, ut victis ingentia mala, sic victoribus emolumenta plurima peperere 271, c. ἀλλ' ἐπειδὰν κατίδωσι πλείω κατορθοῦντας τοὺς ταῖς δόξαις χρωμένους ἢ τοὺς τὴν ἐπιστήμην ἔχειν ἐπαγγελλομένους. quum vero vident eos plura recte agere qui opinionibus utuntur, quam qui se scientiam habere profitentur 292, c.

καῦμα] ὑπὸ καυμάτων διαφθειρόμενοι 223, e.

καύσις] τὰς καύσεις καὶ τὰς τομὰς τῶν ἰατρῶν ὑπομένειν 167, c.

κεῖσθαι] πείθου τοῖς νόμοις τοῖς ὑπὸ τῶν βασιλέων κειμένοις 10, a. ταῦτα γὰρ ἅπαντα προσεῖναι δεῖ τοῖς καλῶς κειμένοις νόμοις 18, b. ὁρῶ γὰρ καὶ τοὺς νόμους ἕνεκα τούτου κειμένους 123, a. εἰ μὲν τὸν παρ' αὐτοῖς κείμενον σύνδικον εἶχον quod si patriæ suæ lege niterentur 387, a. νῦν δὲ κἀκεῖνος ὁμοίως τοῖς ἀνεγνωσμένοις κεῖται. nunc illa etiam lex cum iis quæ jam recitatæ sunt, convenit 387, b. ἔτι δ' ὁ παρ' αὐτοῖς τοῖς ἀμφισβητοῦσι κείμενος ἐμοὶ βοηθεῖ. imo etiam ea lex quæ apud istos valet, qui nobis controversiam faciant, mihi patrocinatur 387, c. ὃς νόμος δοκεῖ τοῖς Ἕλλησιν ἅπασι καλῶς κεῖσθαι 394, d. ὥστε καὶ τοὺς λόγους τοὺς εἰρημένους καὶ τοὺς νόμους τοὺς κειμένους ἀναριθμήτους εἶναι p. 439, 88. ἐθάρρουν περὶ τῶν ἔνδον κειμένων. confisi sunt de iis pecuniis quæ *domi* intus repositæ sunt 146, b. περὶ δὲ τῶν χρημάτων παρὰ τούτῳ κειμένων ἔξαρνον εἶναι 359, d. τὰ μὲν γὰρ χρήματα πολλὰ εἶναι τὰ παρ' αὐτῷ κείμενα 360, a. καίτοι εἰ μηδὲν ἔκειτο παρ' αὐτῷ τῶν ἐμῶν 366, b.

κελεύειν] ἐὰν ποιήσωμεν τὰ κελευόμενα 123, d. μὴ ποιεῖν τὸ * κελευόμενον 135, d.

κενὸς sterilis. οὐ μικρὸς οὐδὲ κενὸς τόπος 104, c. ἐλπίδων κενῶν μεστὸς 174, b. τὰς τῶν ἄλλων ἐμπόρων ναῦς κενὰς ἐκπέμποντες 370, b.

κερδαίνειν] μηδένα ζηλοῦ τῶν ἐξ ἀδικίας κερδαινόντων 10, d. τί κερδαίνων ἢ τίνα κίνδυνον φοβηθεὶς ἀφῆκ' αὐτὸν τῶν ἐγκλημάτων 364, b. νομίζων μεγάλα κερδαίνειν 366, a.

κερδαλέος] τὰς μὲν ἐργασίας αὐτοῖς καθίστη κερδαλέας 18, c. πρὶν ἂν πεισθῆτε τὴν μὲν ἡσυχίαν ὠφελιμωτέραν καὶ κερδαλεωτέραν εἶναι τῆς πολυπραγμοσύνης 164, c. ὥσθ' ὑπειλήφασι τὴν μὲν ἀδικίαν ἐπονείδιστον μὲν εἶναι κερδαλέαν δὲ 165, c.

κέρδος] τούτων ἐγκράτειαν ἄσκει πάντων, κέρδους, ὀργῆς, ἡδονῆς, λύπης 6, c. μὴ τὸ μὲν λαβεῖν κέρδος εἶναι νομίζετε, τὸ δ' ἀναλῶσαι ζημίαν ne accepisse quidem lucrum esse censeatis, erogare vero damnum 37, b. πάντων τῶν ἄλλων ἀμελήσαντες ὑπὲρ τῶν ἰδίων κερδῶν 301, b. ἐγὼ μὲν οὖν ἡδονῆς ἢ κέρδους ἢ τιμῆς ἕνεκα φημὶ πάντας πάντα πράττειν p. 474, 232.

κεφάλαιον] ἐν κεφαλαίοις τὴν δύναμιν ὅλου τοῦ πράγματος καλῶς περιλαμβάνειν 16, d. κεφάλαιον δὲ τῶν εἰρημένων. caput vero dictorum hoc est 39, d. 71, d. τὸ δ' οὖν κεφάλαιον τῆς ἑκατέρων διανοίας τοιοῦτον ἦν ad summam, utrisque hoc propositum, hoc constitutum ac deliberatum fuit 154, a. χωρὶς, ὥς περ τὰ καλούμενα κεφάλαια, ποιήσας. distinctis tanquam ea quæ capita vocantur 342, d.

κεφαλὴ] συντρῖψαι [κατὰ] τῆς κεφαλῆς αὐτῆς 381, b.

κεχαρισμένως] περὶ παντὸς ποιοῦ κεχαρισμένως αὐτοῖς (τῷ πλήθει scil.) ἄρχειν 17, e. κεχαρισμένως εἰπεῖν grata dicere 85, b.

κήδεσθαι] κήδου τῶν οἴκων τῶν πολιτικῶν 19, a. κήδεσθε μηδὲν ἧττον τῶν ἐμῶν ἢ τῶν ὑμετέρων αὐτῶν 37, a. ἀλλ' ἐκήδοντο μὲν τῶν κοινῶν ὡς οἰκείων. sed curabant res publicas tanquam domesticas 56, a. νομίζοντες, τὸ δαιμόνιον ὑποβαλεῖν, οὐκ ἐμοῦ φροντίζον, ἀλλὰ τῆς Ἑλλάδος κηδόμενον. existimantes ea accepta referenda esse dei alicujus benevolentiæ, qui non de me sit sollicitus, sed Græciæ salutem cura sua complectatur 112, c. ἐμὸν μὲν οὖν ἔργον ἐστὶ καὶ τῶν ἄλλων τῶν κηδομένων τῆς πόλεως 167, b. τοὺς δὲ τὸν πόλεμον ποιοῦντας ὡς τῆς δημοκρατίας κηδομένους εὔνους εἶναι νομίζομεν 169, e.

κηδεστὴς] ἀλλ' ἐπεθύμησε Διὸς γενέσθαι κηδεστὴς 216, c. μόνος ἀξιωθεὶς Διὸς γενέσθαι κηδεστὴς 247, c. τὸν πατέρα τὸν ἐμὸν ἐξ ἁπάντων ἐκλεξάμενος κηδεστὴν ἐπεθύμησε ποιήσασθαι 353, b.

κῆδος funus. ὥστ' ἐπὶ μὲν τὸ κῆδος οὐκ ἠξίωσεν ἀφικέσθαι 390, d.

κῆρυξ] Εὐμολπίδαι δὲ καὶ κήρυκες ἐν τῇ τελετῇ τῶν μυστηρίων τοῖς ἄλλοις βαρβάροις εἴργεσθαι τῶν ἱερῶν προαγορεύουσιν 73, d.

κινδυνεύειν periculosus esse. αἱ γὰρ τοιαῦται συστάσεις ἐν ταῖς μοναρχίαις κινδυνεύουσιν 38, a. periclitari. κακοὶ δὲ γενόμενοι κινδυνεύσουσι περὶ τῶν ὑπαρχόντων 38, e. πρὸς οὓς ἠναγκάσθησαν † κιν-

215, b. τὸ κοινὸν ἡμῶν πεπλημμέληκεν. nostra Respublica deliquit 245, e. * κοινὴν τὴν στρατείαν ποιησάμενοι 251, c. ὁ κοινὸς βίος. victus communis 306, b.

κοινότης καὶ μετριότης τῆς φωνῆς p. 493, 316.

κοινωνεῖν] οἱ βουλόμενοι κοινωνεῖν τῆς ἐκείνου διανοίας (participes esse ipsius prudentiæ) 41, b. οἱ τῶν δεκαδαρχιῶν κοινωνήσαντες. qui in Decurionum numero fuerunt 63, d. τῶν μὲν γὰρ εἰρημένων οὐδεὶς κεκοινώνηκε 108, e. ἀλλὰ πάντα καταφρονούμενα πλὴν ὅσα ταύτης τῆς ἰδέας κεκοινώνηκε 216, e. ὧν (ἀρετῶν) πολλοὶ καὶ τῶν φαύλων κοινωνοῦσιν 247, b. κἀκεῖνος τῶν τῆς πόλεως συμφορῶν ἐκοινώνησεν 354, d.

κοινωνία] δοκίμαζε τοὺς φίλους ἔκ τε τῆς περὶ τὸν βίον ἀτυχίας καὶ τῆς ἐν τοῖς κινδύνοις κοινωνίας. amicos cum in vitæ calamitate tum in periculorum societate cognosces 7, b. κοινωνίαν ποιησάμενοι παντὸς τοῦ βίου (totius vitæ societatem) 35, a. (bis.)

κοινωνὸς] κοινωνοὺς ἁπάντων ἔχειν πλὴν τῶν ἀρχῶν καὶ τῶν τιμῶν 270, b.

κοινῶς] οὐδὲ κοινῶς οὐδὲ πολιτικῶς (nec communiter, nec civiliter) οὐδεπώποτ' ἐβίωσαν 72, b. † κοινῶς τὴν στρατείαν ποιησάμενοι 251, c.

κολάζειν] τὸν δὲ διὰ τὴν κακίαν ταῖς μεγίσταις τιμωρίαις ἐκόλασεν 13, a. οὐδεὶς γὰρ ἡμῶν οὕτως αἰκίζεται τοὺς οἰκέτας, ὡς ἐκεῖνοι τοὺς ἐλευθέρους κολάζουσιν 66, d. ὅταν τοὺς ὑβρίζοντας κολάζητε, ὑμῖν αὐτοῖς βοηθεῖτε 398, b. τῇ μεγίστῃ ζημίᾳ κολάζειν 395, b. οὐ γὰρ ὅτι τοὺς ἀδικοῦντας ἐκόλαζον, ἀλλὰ—non modo enim facinorosos non puniebant, verum etiam— 374, d. ὅταν μὴ τοὺς ἀδικοῦντας (sontes) λάβητε, τοὺς ἐντυγχάνοντας (quoscunque) κολάζετε 378, b. τηλικαύταις ζημίαις κολάζειν τοὺς παραβαίνειν τολμῶντας τὰς συνθήκας 380, a. κράτιστον μὲν γὰρ ἦν, . . . πρὶν ἀδικηθῆναί τινα τῶν πολιτῶν, πρότερον κολάζειν τοὺς πονηροὺς 398, a.

κολακεύειν] μίσει τοὺς κολακεύοντας ὥσπερ τοὺς ἐξαπατῶντας 8, c. συνειδότες πολλοὺς καὶ μεγάλους οἴκους ὑπὸ τῶν κολακευόντων ἀναστάτους γεγενημένους 159, c. λέγοντες ὡς σὺ τοὺς μὲν κολακεύοντας τιμᾷς, τῶν δὲ συμβουλευόντων καταφρονεῖς 405, b. φανήσομαι γὰρ οὐ κολακεύειν τὴν πόλιν ἐν τοῖς λόγοις εἰθισμένος 411.

κόλαξ] τοὺς μὲν ὑπ' ἄλλῃ τινὶ δυνάμει γιγνομένους λοιδοροῦμεν καὶ κόλακας ἀποκαλοῦμεν 217, c.

κόλπος] κύκνος δὲ γενόμενος εἰς τοὺς Νεμέσεως κόλπους κατέφυγε 217, e.

κομιδῇ] τῇ τῶν ἐλλειπόντων κομιδῇ. rerum quæ desunt importatione 224, b.

κομίζειν] βίᾳ λαβὼν αὐτὴν εἰς Ἄφιδναν τῆς Ἀττικῆς † ἐκόμισε 211, e. τὴν ἄλλην φιλοσοφίαν πρῶτος εἰς τοὺς Ἕλληνας ἐκόμισε 227, a. κομίζεσθαι recipere. οἱ δὲ κομιεῖσθαι προσδοκῶντες ὧν ἂν προϋπάρξωσιν. alii vero sperantes se *fructum* reportaturos *ex iis beneficiis* quæ *in nos* primi contulerint 131, c. ὡς καὶ τὰς κτήσεις τὰς ἐν ταῖς πόλεσι κομιούμεθα 159, e. τῷ γένει τὰς τιμὰς τὰς πατρίους ἐκομίσατο familiæ suæ patrios honores restituit 195, a. μέρος τι κομίζεσθαι τῶν προεθέντων 197, b. μὴ κομισάμενοι τὴν χώραν πρὸς Λακεδαιμονίους ἀποστῶμεν 311, c. τῶν ἄλλων κομιζομένων τὰς οὐσίας 356, c. βουλομένου γὰρ ἐμοῦ κομίσασθαι τἀμαυτοῦ καὶ πλεῖν εἰς Βυζάντιον 359, c. 362, c. δῆλον ὅτι οὐδ' ἂν ταῦτα ὡμολόγει κεκομίσθαι 403, c. χάριν κομίζεσθαι παρ' ὑμῶν p. 434, 65.

κομψῶς] ταῦτα κομψοτέρως πέφρασται τῶν ἔμπροσθεν εἰρημένων p. 468, 208. μὴ κομψῶς ἀλλ' ἁπλῶς περὶ τούτων διελθὼν p. 614, 6.

κόρη] ἀδελφὴν δὲ κόρην τετρακαιδεκέτιν γεγονυῖαν κατέθαψα 388, e. pro Proserpina. ὅτ' ἐπλανήθη τῆς Κόρης ἁρπασθείσης 46, a.

κοροπλάθος puparum fictor. ὥσπερ ἂν εἴ τις Φειδίαν τὸν τὸ τῆς Ἀθηνᾶς ἕδος ἐργασάμενον τολμῴη καλεῖν κοροπλάθον 310, b.

κοσμεῖν] οὐδὲ γὰρ ταῖς περὶ τὴν λέξιν εὐρυθμίαις καὶ ποικιλίαις κεκοσμήκαμεν αὐτόν. non enim meam (*orationem*) numerorum concinnitatibus aut varietatibus ad compositionem perficiendam requisitis ornavimus 87, e. ἐκόσμησε τὴν πόλιν καὶ τοῖς ἱεροῖς καὶ τοῖς ἀναθήμασιν p. 478, 250. δυνάμενοι τὰ τῶν ἄλλων ἔργα κοσμεῖν 189, d. τῷ λόγῳ κοσμήσας 206, d.

κόσμιος] δικαίας καὶ κοσμίας ἐπιθυμῶν πολιτείας 154, b. τοὺς φύσει κοσμίους ὄντας ἐπαινεῖν 36, c. ὅστις ἐπὶ τῶν τριάκοντα κόσμιον ἑαυτὸν παρέσχεν 374, c. καὶ τοὺς ἄλλους πολίτας κοσμιωτέρους ποιήσετε 398, c.

κοσμίως ζῆν 21, a. 34, d. κοσμιώτερον βεβιωκέναι τῶν ἄλλων p. 460, 174.

κοσμιότης] μηδεμιᾶς † κοσμιότητος μετέχοντες 233, a.

κόσμος verecundia. ἡγοῦ μάλιστα σεαυτῷ πρέπειν κόσμον, αἰσχύνην, δικαιοσύνην, σωφροσύνην 5, b. τῆς γὰρ γῆς ἁπάσης τῆς ὑπὸ τῷ κόσμῳ κειμένης δίχα τετμημένης. nam cum universa terra, quæ cœlo subjacet, bifariam sit divisa 78, c. τοῖς μὲν γὰρ ποιηταῖς πολλοὶ δέδονται κόσμοι. nam poetis ornamenta multa concessa sunt 190, d. οἱ περὶ τὸ σῶμα κόσμοι 21, b. τόποι εὐαρμόστως πρὸς τὴν τοῦ σύμπαντος † κόσμου φύσιν ἔχοντες 223, e. ἐν καλλίστῳ τοῦ κόσμου κειμένη ibid. ὁ κόσμος ὁ τῆς πολιτείας τῆς πρότερον ὑπαρχούσης οὐκ ἄδηλος ἦν λυθησόμενος 256, d.

κοῦφος] ἡγούμενοι * κουφοτέραν εἶναι τὴν Εὐαγόρου βασιλείαν τῶν οἴκοι πολιτειῶν 199, b.

κρατεῖν] τούτοις γὰρ ἅπασι δοκεῖ κρατεῖσθαι τὸ τῶν νεωτέρων ἦθος 5, b. ὑφ' ὧν κρατεῖσθαι τὴν ψυχὴν αἰσχρὸν, τούτων ἐγκράτειαν ἄσκει πάντων 6, c. τοὺς κρατοῦντας τοῦ πλήθους ἐπ' ἀρετὴν προτρέπειν 16, c. ἐὰν κρατῇς τῶν ἐπιθυμιῶν μᾶλλον ἢ τῶν πολιτῶν 20, d. τούτων δ' ἀμφοτέρων ἐκράτησα 36, b. τῆς παρόδου κρατοῦντες. transitu potiti 59, d. διὰ τὴν ναυμαχίαν ἡμᾶς τῷ πολέμῳ κρατῆσαι. propter navale bellum nos in hoc bello superiores evasisse 61, b. μήθ' οἷόν τ' ἐστὶ τοσούτων πόλεων τὸ πλῆθος κρατεῖν. nec fieri possit ut tantam urbium multitudinem in officio quis contineat 62, a. τελευτῶντες δὲ πρὸς Φωκέας πόλεμον ἐξήνεγκαν ὡς τῶν πόλεων ἐν ὀλίγῳ χρόνῳ κρατήσοντες 93, a. φαίνονται γὰρ κἀκεῖνοι κρατήσαντες ἂν τῶν βασιλέως πραγμάτων, εἰ μὴ διὰ Κῦρον. constat enim etiam eos

fuisse potituros rebus Regis, nisi per Cyrum impediti fuissent 100, e. ἡγοῦντο γὰρ βασιλέως κρατήσαντος ἀπαλλαγήσεσθαι τῶν κακῶν τῶν παρόντων 101, c. ὥστε καὶ τοὺς μείζω δύναμιν ἔχοντας ὑπὸ τῶν ἀσθενεστέρων κρατηθῆναι 124, a. ῥᾳδίως τῆς κατὰ θάλατταν δυνάμεως ἐπεκράτησαν 180, a. κρατήσας φύσεως ἐξ ἀνδρὸς μὲν καὶ ταύρου μεμιγμένης. cum eam naturam superasset, quæ e viro quidem et tauro mixta esset 213, c. Ἀθηνᾶς διδούσης αὐτῷ κρατεῖν ἐν τοῖς πολέμοις 216, b. ὥστε καὶ ταῖς γυναιξὶ ταῖς αὐτῶν ὑπὸ τούτου (pulchritudine) κρατουμέναις συγγνώμην ἔχουσι 218, a. κρατούντων δὲ τῶν πολεμίων καὶ τῆς γῆς καὶ τῆς θαλάττης 350, b. κρατήσας τῶν πραγμάτων 408, b. κρατήσασα τοιαύτης ἀρετῆς καὶ σωφροσύνης. tanta virtute prædita et modestia 215, c.

κρατιστεύειν] ἐν οἷς ἐκεῖνος τῶν ἡλικιωτῶν ἐκρατίστευσεν 193, c.

κράτος] Κύθηρα κατὰ κράτος εἷλον. Cythera per vim expugnarunt 65, d. πολλὰς πόλεις τῶν Ἑλληνίδων κατὰ κράτος ἑλεῖν 95, e. μετ' ὀλίγων στρατεύσας ῥᾳδίως αὐτὴν κατὰ κράτος εἷλεν 105, a. Τύρον δὲ κατὰ κράτος εἷλε 201, c. vide plura sub præpos. κατά.

κραυγὴ] καὶ τὰς κραυγὰς καὶ τὰς παρακελεύσεις, ἃ κοινὰ πάντων ἐστὶ τῶν ναυμαχούντων, οὐκ οἶδ' ὅτι δεῖ λέγοντα διατρίβειν 61, a.

κρείττων] ἡγοῦ τῶν ἀκουσμάτων πολλὰ πολλῶν εἶναι χρημάτων κρείττω. audivisse multa præstare puta quam pecuniæ multum coegisse 5, e. πολλῶν γὰρ χρημάτων κρείττων ὁ παρὰ τοῦ πλήθους ἔπαινος 10, b. χρὴ τοὺς προσποιουμένους χρημάτων εἶναι κρείττους—oportet eos qui profitentur se majores esse quam quos vincere possit pecunia— 34, a. τοῖς κρείττοσι τοῦ λυσιτελοῦντος ἕνεκα συναδικεῖν. una cum potentioribus commodi privati gratia injuste agere 51, d. τὴν αὐτὴν ἀξιοῦντες γνώμην ἔχειν πρὸς τοὺς ἥττους ἥνπερ τοὺς κρείττους πρὸς σφᾶς αὐτούς. eandem ut ipsi erga inferiores mentem haberent æquum putantes, quam superiores erga se *habere vellent* 57, a. μόνος γὰρ οὗτος ὁ πόλεμος εἰρήνης κρείττων (optabilior) ἐστὶ 79, a. ὥστε ῥᾷον εἶναι συστῆσαι στρατόπεδον μεῖζον καὶ κρεῖττον ἐκ τῶν πλανωμένων ἢ τῶν πολιτευομένων 101, d. πολὺ μᾶλλον † κρεῖττον μεγάλου καιροῦ τιμὴν ἀνταλλάξασθαι 138, b. οὐ δίκαιόν ἐστι τοὺς κρείττους τῶν ἡττόνων ἄρχειν 173, a. ὅτι μιᾶς μὲν ἑκάστης τῶν πόλεων κρείττους ἐσμὲν, ἁπασῶν δ' ἥττους 186, b. εἰ τῶν παρόντων τυγχάνεις ὢν ἤδη κρείττων 207. κακῶς μὲν γὰρ παθεῖν ὑπὸ τῶν κρειττόνων οὐδὲν κωλύει καὶ τοὺς μηδὲν ἐξημαρτηκότας 217, b. δυοῖν γὰρ πραγμάτοιν προτεινομένοιν μὴ σπουδαίοιν, κρείττω τὴν αἵρεσιν εἶναι— nam quum duæ res, quarum neutra bona esset, proponerentur, optionem eam præstare putabant— 257, a. ἐγὼ δ' οὔτε τοῖς συμμάχοις ἡγοῦμαι λυσιτελεῖν τοὺς ἀσθενεστέρους τοῖς κρείττοσι δουλεύειν 303, a. τοὺς ἥττους λόγους κρείττους δύναμαι ποιεῖν. causas inferiores superiores facere possum 313, b. ἡγήσαντο † κρεῖττον εἶναι φυγεῖν τὴν πατρίδα 351, d.

κρίνειν] μηδὲ τὰ σπουδαῖα τῶν πραγμάτων μηδὲ τοὺς εὖ φρονοῦντας τῶν ἀνθρώπων ταῖς ἡδοναῖς * κρίνειν 24, e. decernere. τὰ γὰρ ὑφ' ἡμῶν κριθέντα τοσαύτην λαμβάνει δόξαν 50, a. οὐδὲ πρὸς ἀργύριον τὴν εὐδαιμονίαν ἔκρινον. nec pecunia felicitatem metiebantur 56, b.

πλείους ἐν τρισὶ μησὶν ἀκρίτους ἀποκτείναντες ὧν ἡ πόλις ἐπὶ τῆς ἀρχῆς ἁπάσης ἔκρινεν. cum ipsi plures trium mensium spatio interfecerint, quam quos urbs nostra per totum imperii tempus in judicium adduxit 64, c. οὔπω δὲ κεκριμένου τοῦ μέλλοντος αὐτῇ συνοικήσειν 216, a. εἰ μὴ † ἐκρίθη Σπαρτιατῶν τοὺς νοῦν ἔχοντας 270, b. τὸ δίκαιον κρίνοντες. id quod justum est decernentes 298, d. ἅπερ ὅταν πάθωσιν οἱ κρίνοντες, χαλεπώτατοι τοῖς ἀγωνιζομένοις εἰσὶν quibus affectibus judices perturbati reis iniquiores fiunt 316, d. παρόντα μὲν αὐτὸν οὐκ ἔκρινον ἀπόντος δὲ κατεγίγνωσκον 348, c. τύχῃ μᾶλλον ἢ τῷ δικαίῳ κρίνεται τὰ παρ' ὑμῖν 373, a. τοσαύτας πόλεις ἑλόντα περὶ προδοσίας ἔκρινε p. 451, 137.

κρίσις judicium. εἴ τινες ταύτην μὲν μὴ νομίζουσι δικαίαν εἶναι τὴν κρίσιν 45, a. ἐν τοῖς νόμοις τοῖς ἡμετέροις τὰς κρίσεις ἐποιήσαντο περὶ αὐτῶν. secundum nostras leges de rebus illis judicia fecerunt 48, d. ἵν' ἀκριβῶς εἰδότες ποιῆσθε καὶ τὴν αἵρεσιν καὶ τὴν κρίσιν αὐτῶν 143, c. μηθ' αἱ κρίσεις ἀκριβεῖς εἰσὶ 149, b. ἐξ ὧν αὐτὸς συνῄδει, τὰς κρίσεις ἐποιεῖτο περὶ αὐτῶν 197, b. μηδὲ πιστεύειν τοῖς μήτε μετ' ἐλέγχου μήτε μετὰ κρίσεως εἰρημένοις. nec ea credere, quæ sine ulla probatione, sine judicio, dicta fuerint 316, e. τὰς δίκας καὶ τὰς κρίσεις τὰς ἐνθάδε γιγνομένας τοῖς συμμάχοις διεξιέναι. accusationes et judicia quæ hic sociis contigerint recensere 245, d. εἰς ἀγῶνα καὶ κρίσιν καταστάντες 246, b. τῇ πόλει πολλάκις οὕτως ἤδη μετεμέλησε τῶν κρίσεων τῶν μετ' ὀργῆς καὶ μὴ μετ' ἐλέγχου γενομένων 314, b. c.

κριτὴς] τῶν μὲν ἐλαττόνων κριτὴς, τῶν δὲ μειζόνων ἀγωνιστὴς 17, c. οὐ γὰρ δὴ μάρτυρά γε πιστότερον οὐδὲ κριτὴν ἱκανώτερον ἕξομεν ἐπαγαγέσθαι 215, d. ἧς (ἔριδος) Ἀλέξανδρος κατέστη κριτὴς 216, b. c. ὥστε θνητὸν ὄντα θεῶν γενέσθαι κριτὴν 217, c. τίνας ἄν τις κριτὰς ἱκανωτέρους ποιήσαιτο καὶ πιστοτέρους τῶν τότε πραχθέντων 243, b. καίτοι χρὴ τοὺς νοῦν ἔχοντας τοιούτους εἶναι κριτὰς τοῖς ἄλλοις, οἵων περ ἂν αὐτοὶ τυγχάνειν ἀξιώσαιεν 314, e. ὅστις περὶ τῶν ἐμοὶ πεπραγμένων φανήσεται κριτὴς γεγενημένος 315, d. τίς οὐκ οἶδεν τοὺς κριτὰς ἐξελόντα Πυθόδωρον τοὺς ὑπὸ τῆς βουλῆς εἰσβληθέντας. quis nescit Pythodorum (urnas resignasse et) judices exemisse a senatu injectos 365, c. οὐ μὴν ἀλλ' ἐπειδὴ σὺ μέλλεις αὐτῶν ἔσεσθαι κριτὴς 405, a.

κρύπτειν] ἅπαντα δοκεῖ ποιεῖν ὡς μηδένα λησῶν· καὶ γὰρ ἂν παραυτίκα κρύψῃς, ὕστερον ὀφθήσει. omnia te ita facere puta, quasi neminem sis celaturus: etsi enim quippiam occultaris in præsentia, post tamen innotescet 5, c. περὶ τὰ κεκρυμμένα τῶν πραγμάτων ἀναγκαῖόν ἐστι πολλοὺς φόβους γίγνεσθαι. in rebus occultis necesse sit timores multos oriri 37, d.

κτᾶσθαι] φίλους κτῶ μὴ πάντας τοὺς βουλομένους 20, b. ὥσθ' οἱ μὲν κεκτημένοι τὰς οὐσίας ἥδιον ἂν εἰς τὴν θάλατταν τὰ σφέτερ' αὐτῶν ἐκβάλοιεν ἢ τοῖς δεομένοις ἐπαρκέσειαν 130, a. ὥστ' οὐδ' οἱ κεκτημένοι τοὺς μεγίστους πλούτους μένειν ἐπὶ τούτοις ἐθέλουσιν 160, a. νομίζοντες μείζω βλάπτεσθαι τοὺς πένητας τῶν πολλὰ κεκτημένων 146, c.

* ἐκτῶντο δὲ δύναμιν οὐδὲν ὁμοίαν τῇ πρότερον ὑπαρχούσῃ 179, e. εἴθ' ὑπὸ πάντων αἱρεθεὶς εἴτ' αὐτὸς κτησάμενος 248, b.

κτῆμα] ἧς (ἀρετῆς scil.) οὐδὲν κτῆμα σεμνότερον 2, b. σοφία γὰρ μόνον τῶν κτημάτων ἀθάνατον 5, e. πειρῶ τὸν πλοῦτον χρήματα καὶ κτήματα κατασκευάζειν. coneris efficere ut opes sint usui et possessioni 8, a. σύμβουλος ἀγαθὸς χρησιμώτατον καὶ τυραννικώτατον ἁπάντων τῶν κτημάτων ἐστὶν 25, b. τὴν δὲ δικαιοσύνην καὶ σωφροσύνην ἴδια κτήματα τῶν καλῶν κἀγαθῶν ὄντα ἑώρων. justitiam vero et temperantiam possessiones esse bonis honestisque viris proprias viderem 35, d. ὥστε χαίρειν καὶ τοῖς κτήμασι καὶ τοῖς ἐπιτηδεύμασι τοῖς Ἑλληνικοῖς μᾶλλον ἢ τοῖς παρὰ σφίσιν αὐτοῖς 199, a. οὐ τῶν * κτημάτων ἐπιθυμήσαντες τῶν ἀλλοτρίων 425, a.

κτῆσις possessio. τῆς ἀρετῆς κτῆσις μόνη συγγηράσκει 3, c. ἀγάπα τῶν ὑπαρχόντων ἀγαθῶν μὴ τὴν ὑπερβάλλουσαν κτῆσιν 7, e. περὶ μὲν οὖν τῆς κτήσεως ἔνεστι μὲν ἴσως πλείω τούτων εἰπεῖν 122, d. ἀλλὰ γὰρ οὐ πρὸς τὰς τούτων κτήσεις ἀποβλέψας ποιοῦμαι τοὺς λόγους 109, b.

κτητικοὶ εἶναι τῶν οὐκ ὄντων. parare posse ea quæ non adsunt 283, c.

κτητὸς] δόξῃ μὲν χρήματα κτητά. gloria quidem opes parandæ sunt 21, b.

κτίζειν] καὶ τὴν πόλιν αὐτοῖς ἔκτισεν 32, c. πολλὰς μὲν ἐφ' ἑκατέρας τῆς ἠπείρου πόλεις ἔκτισαν. multas quidem in utraque continente urbes condiderunt 47, d. πολλὰς πόλεις ἐφ' ἑκατέρας τῶν ἠπείρων καὶ μεγάλας ἔκτισαν 241, d.

κτίσις] ὁ περὶ τὴν κτίσιν τῶν ἀποικιῶν πόλεμος. bellum quod eo tempore quo coloniæ condebantur gestum fuit 272, e.

κυκεύειν] ἕτεροι δ' ἐν τοῖς σκηνοραφείοις † κυκεύουσι p. 491, 306.

κύκλος] κύκλῳ γὰρ αὐτὴν περιέχει 224, b. οἱ μὲν τὸν κύκλον ἔχοντες. alii quidem circulum urbis possidentes 379, e.

κύκνος δὲ γενόμενος εἰς τοὺς Νεμεσέως κόλπους κατέφυγε 217, e.

κυλινδεῖσθαι volvi. volutari. assidui esse, occupati in re aliqua. λοιδορεῖσθαι τοῖς ἐπὶ τοῦ βήματος * κυλινδουμένοις 98, c.

κυνηγέσιον venatio. περὶ τὰ κυνηγέσια καὶ τὴν φιλοσοφίαν διατρίβειν 148, e.

κυρία domina. τῶν μὲν κυρία γενομένη 48, c. τὴν δὴ τοιαύτην, ὥσπερ εἶπον, κυρίαν ἐποίησαν τῆς εὐταξίας ἐπιμελεῖσθαι. hunc igitur talem, uti dixi, *Senatum* summa autoritate instructum censuræ morum præfecerunt 147, d. ἔτι δὲ τὴν μητέρα καὶ τὴν ἀδελφὴν οὐ μόνον τῶν αὑτοῦ κυρίας ἀλλὰ καὶ τῶν ἐμῶν κατέστησε 391, c.

κύριος subst. et adject. τοῦ πολέμου κύριος ἐγένετο bellum in potestate habuit 66, a. ὥστ' ἐπιχειρῆσαι τῆς Ἀσίας ἡμᾶς ποιῆσαι κυρίους 107, d. ὅτι συμβαίνει τοῦ μὲν πλούτου καὶ τῶν δυναστειῶν πολλάκις τοὺς ἐχθροὺς κυρίους γίγνεσθαι 109, e. ὅτε τὸ πλῆθος ἦν κύριον τῶν πραγμάτων 152, e. εἰθισμένων τὸν ἄλλον χρόνον τῶν βασιλέων μὴ διαλλάττεσθαι τοῖς ἀποστᾶσι πρὶν κύριοι γένοιντο τῶν σωμάτων. quum reges superiori tempore non redire in gratiam cum iis qui defecerant, consuevissent, antequam corporibus eorum potiti essent 201, d. Εὐαγόρᾳ δὲ πολεμήσας ἔτη δέκα τῶν αὐτῶν κύριον αὐτὸν κατέλιπεν, ὥσπερ— 201, e. ἐπειδὴ παρὰ τῶν κυρίων οὐχ οἷός τ' ἦν αὐτὴν λαβεῖν 211, d. ἐκείνων δ' ἕκαστος ἀμφοτέρων τούτων αὐτὸς αὑτῷ κύριος καθέστηκεν 224, b. τοῦ δ' Ἰλλυριῶν πλήθους ἐγκρατὴς καὶ κύριος γέγονεν 86, c. ὥσθ' ὁ μὲν τὸν δῆμον καθίστη κύριον τῆς πολιτείας 215, b. ἀλλ' εἰ μὲν ἡμῶν τις τῆς τῶν ἀνθρώπων φύσεως κατασταίη κύριος 229, c. κυρίους τούτους γενήσεσθαι τῆς ἐν τοῖς Ἕλλησι πλεονεξίας. eos dominatus Græcorum potentes fore 266, c. καὶ πάντες αὐτὰ κύρια ποιοῦμεν. et hæc omnes rata facimus 77, e. εἰ δὲ τὰς συνθήκας ἀξιοῦσιν εἶναι κυρίας (rata) 298, d.

κυρίως domini ritu. τάς τε πόλεις τὰς Ἑλληνίδων οὕτω κυρίως παρείληφεν 68, e.

κύων] τοὺς κακοὺς εὖ ποιῶν ὅμοια πείσει τοῖς τὰς ἀλλοτρίας κύνας σιτίζουσι. si de malis bene mereberis, idem tibi usu veniet quod iis qui alienos canes pascunt 8, c. οὔτε γὰρ ἵππων οὔτε κυνῶν οὔτ' ἀνδρῶν οἷόν τε καλῶς ἄρχειν, ἢν μὴ— 17, e. περὶ τοὺς κύνας τέχνας ἔχοντες p. 472, 226.

κωλύειν] κωλύσοντες αὐτοὺς περαιτέρω προελθεῖν. illos prohibituri ne ulterius progrederentur 59, a. κωλύοντες αὐτὸν τῇ θαλάττῃ χρῆσθαι. illum maris usu prohibentes 65, e. οὓς οὐ δεῖ πείθειν, ἀλλὰ μὴ κωλύειν πολεμεῖν 74, d. ἀλλὰ τὸ μὲν δεινότερον τοῖς κωλύουσιν ἢ τοῖς ἀτυχοῦσιν. sed illud quidem contumeliosius est iis qui prohibent quam iis qui hac calamitate sunt affecti 307, b. ἐὰν μὴ κωλύσῃ με τὸ γῆρας 423, b.

κώμη villa. οὐδὲ κώμην καταλαβόντες 71, d. platea, vicus. διελόμενοι τὴν μὲν πόλιν κατὰ κώμας 149, a. σποράδην καὶ κατὰ κώμας οἰκοῦσα πόλις. civitas quæ sparsim et per vicos habitat 214, e. οὐδὲ κώμην ἔνιοι λαβεῖν ἠδυνήθησαν p. 447, 122.

κωμῳδία] ἥδιον γὰρ ἂν κωμῳδίας τῆς φαυλοτάτης ἢ τῶν οὕτω τεχνικῶς πεποιημένων ἀκούσαιεν 23, c.

λαγχάνειν] δημοτικωτέραν ἐνόμιζον εἶναι ταύτην τὴν κατάστασιν ἢ τὴν διὰ τοῦ λαγχάνειν γιγνομένην. hanc constitutionem existimabant populariorem esse ea quæ per sortitionem facta est 144, b. οἱ μὲν Ἄργος λαχόντες καὶ Μεσσήνην 270, a. τὰς μὲν γὰρ δίκας ὑπὲρ τῶν ἰδίων ἐγκλημάτων λαγχάνουσιν. lites enim in me de privatis criminibus movent 347, a. λαχὼν δίκην. cum judicium sortito adeptus esset; vel diem judicii dixisset 363, a. 364, e. λαγχάνει μοι δίκην μυρίων δραχμῶν. actionem in me decem mille drachmarum movet 373, c. λαγχάνουσιν αὐτῷ φόνου δίκην 381, b.

λακωνίζειν Laconicis rebus studere 63, d. οὐχ ἡ μὲν τῶν ἀττικιζόντων πολυπραγμοσύνη λακωνίζειν τὰς πόλεις ἐποίησεν, ἡ δὲ τῶν λακωνιζόντων ὕβρις ἀττικίζειν τὰς αὐτὰς ταύτας ἠνάγκασεν 181, b. ὥστε μήτε τοὺς ἀνοήτως λακωνίζοντας ἀντειπεῖν δυνήσεσθαι τοῖς ῥηθεῖσι 265, c.

λακωνισμὸν ἑτέροις ὀνειδίζειν 302, b. ὀλιγαρχίαν ὀνειδίζοντες καὶ λακωνισμὸν 345, a.

λαμβάνειν] ἐκεῖθεν γὰρ δίκαιον τὰς πίστεις λαμβάνειν τοὺς ὑπὲρ τῶν

πατρίων ἀμφισβητοῦντας. inde enim fidem jure petunt qui de patrio jure contendunt 51, e. τιμὰς ἐξαιρέτους λαβεῖν. eximios honores accepisse 60, a. μόνοι δὴ τῶν μεγάλην δύναμιν * λαβόντων 63, c. λαμβάνεσθαι δίκην. pœnam sumere 78, e. λαμβάνειν δίκην 263, c. πάντας ὑπηκόους αὐτοὺς εἴληφε. eos omnes in potestatem suam obtemperantes redegit 86, c. πρὶν ἂν λάβῃ τις τοὺς Ἕλληνας δυοῖν θάτερον, ἢ συναγωνιζομένους ἢ πολλὴν εὔνοιαν ἔχοντας τοῖς πραττομένοις. priusquam quis habuerit Græcos aut simul concertantes, aut *saltem* erga ea quæ geruntur magna affectos benevolentia 99, c. τὴν Ἀσίαν πᾶσαν παρὰ τῶν Ἑλλήνων ἐν ταῖς συνθήκαις † ἔλαβεν 102, b. πῶς οὐκ ἀμφοτέρων χρὴ τῶν ἡλικιῶν πεῖραν λαμβάνειν 117, a. τὴν δύναμιν τὴν κρατοῦσαν αὐτῶν ἅπασαν αἰχμάλωτον ἔλαβεν 127, b. πολιτείαν γὰρ τὴν ὀρθῶς ἂν τοῖς πράγμασι χρησομένην οὔτ' ἔχομεν οὔτε † λαβεῖν ζητοῦμεν 142, c. τὸ λαβεῖν τι τῶν ἀλλοτρίων μέγιστον ἀγαθὸν νομίζοντες 166, a. πόσην δὲ χρὴ προσδοκᾶν ἐπίδοσιν τὰ τῆς πόλεως λήψεσθαι 187, a. βίᾳ λαβὼν αὐτὴν εἰς Ἄφιδναν τῆς Ἀττικῆς κατέθετο 211, c. ἐξὸν γὰρ αὐτοῖς λαμβάνειν ἐν ταῖς αὐτῶν πόλεσι γυναῖκας τὰς πρωτευούσας 216, a. πρὸς τὸ μνηστεύεσθαι λαβούσης ἡλικίαν. cum ad ætatem nuptiis idoneam pervenisset 215, e. ὑπὲρ ὧν αὐτοὶ λήψεσθαι προσδοκῶσι 235, b. ἐπὶ σοφίᾳ δόξαν * εἰληφὼς 291, c. ἔπειτα † ληφθέντα ὡς ἐλεύθερον διεκώλυσε βασανίζεσθαι 362, a. λαβόμενος αὐτοῦ. cum prehendisset eum 372, a. τοιαύταις νόσοις ἐλήφθημεν 388, e. μεγάλην δόξαν * εἰληφότες 406, c. ὧν * ληφθεισῶν ἅπας ὁ τόπος ὁ περιέχων οἰκεῖος ἠναγκάσθη τῇ πόλει γενέσθαι p. 445, 114.

λαμπρὸς] λαμπροὶ ἐν ταῖς ὑπὲρ τῆς πόλεως λειτουργίαις. splendidi in urbis muneribus gerendis 38, a. ἐξ ἀδόξων γίγνεσθαι λαμπροὶ 100, b.

λαμπρότης] αἱ μὲν ἐπιφάνειαι καὶ λαμπρότητες celebritas et splendor ἐκ τῶν ἀγώνων γίγνεσθαι φιλοῦσι 137, c. εἰδὼς δὲ τὰς ἐπιφανείας καὶ τὰς λαμπρότητας οὐκ ἐκ τῆς ἡσυχίας γιγνομένας 211, b. τήν τε γὰρ ἀπειρίαν τὴν αὐτοῦ καταπεπλῆχθαι καὶ τὴν λαμπρότητα τὴν ὑμετέραν. suam enim imperitiam se timere *aiebat*, vestrumque splendorem 415, e.

λαμπρῶς] οἴκει τὴν πόλιν ταῖς μὲν κατασκευαῖς λαμπρῶς καὶ βασιλικῶς apparatu splendido et regali 18, d. λαμπρότερον λαβὼν ἐκείνου τὴν βασιλείαν 196, c.

λανθάνειν] καὶ γὰρ ἂν τοὺς ἄλλους λάθῃς, σεαυτῷ γε συνειδήσεις 5, b. ἅπαντα δοκεῖ ποιεῖν ὡς μηδένα λήσων 5, c. δεινὸς μὲν φαίνου τῷ μηδέν σε λανθάνειν τῶν γιγνομένων 19, d. ὥστε καὶ λαθεῖν καὶ ὀφθῆναι 31, b. εὐτυχεῖν νομίζετε μὴ τοὺς λανθάνοντας, ἐάν τι κακὸν ποιήσωσιν, ἀλλὰ τοὺς μηδὲν ἐξαμαρτάνοντας 38, a. ἀλλὰ μὴν τὰ περὶ Θηβαίους οὐδὲ σὲ λέληθεν 92, e. καὶ μηδεὶς ὑπολάβῃ με βούλεσθαι λαθεῖν. nemo autem existimet me velle dissimulare 101, a. cum part. λήσουσιν ἡμᾶς τοσοῦτοι γενόμενοι τὸ πλῆθος 106, e. καὶ λελήθαμεν ἡμᾶς αὐτοὺς ἐνίοτε μετὰ τῶν πατρικῶν ἐχθρῶν τοὺς τῆς αὐτῆς συγγενείας μετέχοντας ἀπολλύναι ζητοῦντες. nec advertimus quòd aliquando una cum hostibus patriis societatis

ejusdem ac cognationis participes perdere quæramus 108, a. ὥσθ' οἱ περὶ ἀσφαλείας διαλεγόμενοι λελήθασιν αὐτοὺς τὴν μὲν εἰρήνην ὀλίγας ἡμέρας ἡμῖν ποιοῦντες, τὸν δὲ πόλεμον εἰς ἅπαντα τὸν χρόνον κατασκευάζοντες. qui igitur de securitate disputant, illi non animadvertunt, se paucorum dierum pacem bello perpetuo redempturos 134, b. λελήθασι σφᾶς αὐτοὺς ἅμα τοῦ τε φρονεῖν ἄμεινον καὶ τοῦ πράττειν βέλτιον τῶν ἄλλων ὀλιγωροῦντες. hi non animadvertunt, se id negligere, ut aliis neque rectius sentiant, nec meliore fortuna utantur 165, d. τελευτῶντες δ' ἔλαθον σφᾶς αὐτοὺς τοὺς μὲν τάφους τοὺς δημοσίους τῶν πολιτῶν ἐμπλήσαντες. tandem vero non senserunt, quod ipsi sepulchra quidem publica civibus implerent 176, c. οἳ ποιητικοῦ πράγματος τεταγμένην τέχνην παράδειγμα φέροντες λελήθασι σφᾶς αὐτούς. qui non animadvertunt se artem regulis fixam et ordinatam pro exemplo afferre rei quæ *ad lubitum* effingitur 293, c. πλὴν εἰ δυνηθείην λαθεῖν περιποιησάμενος τὸ χρύσιον τὸ παρὰ τούτῳ κείμενον. nisi siquid celare possem, retento auro, quod apud ipsum depositum erat 366, d. ἔλαθον ἐμαυτὸν οὐκ εἰς ἐπιστολῆς συμμετρίαν ἀλλ' εἰς λόγου μῆκος ἐξοκείλας. non animadverti, me, neglecta epistolæ brevitate, in justæ orationis prolixitatem incidisse 409, c.

λατρεύειν] τῷ κάλλει λατρεύοντες 217, c.

λέγειν] πᾶν ὅ τι ἂν μέλλῃς † λέγειν, πρότερον ἐπισκόπει τῇ γνώμῃ 11, a. τὸν πλοῦτον καὶ τὴν ῥώμην καὶ τὴν ἀνδρίαν κακῶς λέγοντες 27, b. τὸ γὰρ λέγειν ὡς δεῖ τοῦ φρονεῖν εὖ μέγιστον σημεῖον ποιούμεθα. nam loqui ut oportet, recte sentiendi maximum indicium ducimus 28, a. p. 483, 273. ῥητορικοὺς καλοῦμεν τοὺς ἐν τῷ πλήθει δυναμένους λέγειν 28, b. οἵτινες (orationes scil.) τοὺς λέγοντας μάλιστα ἐπιδεικνύουσι (loquentes maxime ostentant) 42, a. τοιαῦτα * λέγοντες 67, d. αὐτοὺς δ' ὧν εἰσηγοῦνται δεῖ ποιήσασθαί τινα προστάτην τῶν καὶ λέγειν καὶ πράττειν δυναμένων. oportet autem eos eorum, quæ facienda censerent, ducem atque auctorem aliquem ex iis eligere, qui et dicendo et rebus gerendis valerent 85, a. καίτοι μ' οὐ λέληθεν ὅσον διαφέρουσι τῶν λόγων εἰς τὸ πείθειν οἱ λεγόμενοι τῶν ἀναγιγνωσκομένων. neque vero me latet, quantum ad persuadendum intersit inter orationes quæ ab ipso oratore pronuntiantur, et eas quæ recitantur 87, c. ἐπειδὰν γὰρ ὁ λόγος ἀποστερηθῇ τῆς τε δόξης τῆς τοῦ λέγοντος καὶ τῆς φωνῆς 87, d. οὐκ ἀγνοῶν ὅτι τούτοις ὑπ' ἐμοῦ λεγομένοις πολλοὶ φθονήσουσι 108, e. λέγεσθαι et πράττεσθαι inter se opponuntur 253, a. ὡς οὐδὲν οὔθ' ὅσιον οὔτε καλόν ἐστι τῶν μὴ μετὰ δικαιοσύνης καὶ λεγομένων καὶ πραττομένων 272, c. τὴν δύναμιν τῶν λεγομένων διδάσκων 284, c. λέγω δ' οὐχ ὡς δυνησόμενον ἁπάσας σε μιμήσασθαι τὰς Ἡρακλέους πράξεις 105, c. πῶς οὐχ οἷόν τ' ἦν ἔτι σοὶ λέγειν τοὺς ἐνόχους ὄντας τούτοις 276, c. οὐδεὶς ἂν με * λέγων πείσειεν 123, a. οἱ τοὺς πλείστους λέγοντες 194, b. ἐμὲ λέγων. me innuens 277, d. ἵνα δίκας μανθάνῃ λέγειν. ut causas agere discat 318, b. εἰδέναι τοὺς λόγους οὓς λέγω 319, a. λέγει λόγον πάντων δεινότατον 360, e. 365, a. 373, d. εἰ πρέπον ἐστὶ † λέγειν 419, b.

λεία præda. ἐπὶ λείαν ἐλθόντες 71, d.

λείπειν] οὐδεμίαν * λιπόντες ὑπερβολὴν τοῖς αὖθις βουλομένοις γενέσθαι πονηροῖς 63, d. ὧν † λειφθεισῶν ἅπας ὁ τόπος ὁ περιέχων οἰκεῖος ἠναγκάσθη τῇ πόλει γενέσθαι p. 445, 114.

λειποψυχεῖν] βαδίζειν οὐ δυνάμενος ἀλλὰ † λειποψυχῶν 392, b.

λειτουργεῖν] ἐκ τῆς ἰδίας οὐσίας ὑμῖν λειτουργοῦντες 161, c. εἰς δὲ τοὺς διακοσίους καὶ χιλίους τοὺς εἰσφέροντας καὶ λειτουργοῦντας οὐ μόνον αὐτὸν παρέχεις ἀλλὰ καὶ τὸν υἱὸν p. 456, 155. εἰ λειτουργοῦντα μὲν ἐμαυτὸν τῇ πόλει παρέχω p. 457, 161.

λειτουργία] λαμπροὶ ἐν ταῖς ὑπὲρ τῆς πόλεως λειτουργίαις. splendidi in urbis muneribus gerendis 38, d. οὐ γὰρ ἐμπορίαν (negotiationem) ἀλλὰ λειτουργίαν (occupationem) ἐνόμιζον εἶναι τὴν τῶν κοινῶν ἐπιμέλειαν 144, d. ἀναπεπαυμένοι μὲν τῶν εἰσφορῶν καὶ τῶν τριηραρχιῶν καὶ τῶν ἄλλων τῶν περὶ τὸν πόλεμον λειτουργιῶν 163, b. οἱ μὲν τὸ πλῆθος τῶν προσταγμάτων καὶ τῶν λειτουργιῶν ἀναγκάζονται θρηνεῖν πρὸς σφᾶς αὐτοὺς 185, a. λειτουργίαις ὅμοιαι ταῖς ἐνοχλούσαις μὲν οἷς ἂν προσταχθῶσι. *magistratus* muneribus illis similes, quæ iis quibus mandantur molestiam quidem pariunt 263, a. ἔγνωσαν ἐμὴν εἶναι τὴν λειτουργίαν 311, b. καὶ γὰρ εἰ μὲν μετὰ πόνου καὶ ταλαιπωρίας ᾐσθάνοντό σε πορίζόμενον εἴς τε τὰς λειτουργίας καὶ περὶ τὴν ἄλλην διοίκησιν p. 456, 156. ἵνα μὴ πιστευθεὶς ὁ λόγος εἰς μείζους καὶ πλείους ἡμᾶς ἐμβάλῃ λειτουργίας ὧν ὑπενεγκεῖν ἂν δυνηθεῖμεν p. 458, 166. περὶ δὲ ἐμαυτοῦ τὰς μὲν ἄλλας πάσας παραλείψω λειτουργίας 382, b. τῶν ἄλλων ἀσμένως ἀπαλλαττομένων τῶν λειτουργιῶν 382, c. ἀπ' ἐλαττόνων ζῶντες ὧν εἰς τὰς λειτουργίας ἀνηλώκαμεν p. 459, 169. ἀτελὴς γενόμενος καὶ ταύτης τῆς λειτουργίας τῆς ἐνδελεχεστάτης (assiduæ et continuæ) καὶ πολυτελεστάτης p. 458, 167. λειτουργεῖν λειτουργίαν. τὰς δ' ἄλλας λειτουργίας πολυτελέστερον λελειτουργήκατε καὶ κάλλιον ὧν οἱ νόμοι προστάττουσι p. 456, 155. τίνες γὰρ μεγαλοπρεπέστερον τὰς ἄλλας λειτουργίας ἐλειτούργησαν 391, d.

λεκτέος] τὰ δὲ τοιαῦτα λεκτέον οἷς ὁρῶσι τοὺς ὄχλους μάλιστα χαίροντας 24, d. ἀλλὰ λεκτέον περὶ ὧν ὑπεθέμην 99, b. οὐ μὴν οὐδὲ ταῦτά μοι πρότερον λεκτέον ἐστὶ 264, d. πολλῶν ἔτι μοι λεκτέων ὄντων 322, a. ὅ τι πρακτέον ἢ λεκτέον ἐστὶν ἐκ τῶν λοιπῶν p. 487, 290.

λέξις] τὴν λέξιν ἐπαινεῖν ὡς ἀκριβῶς καὶ καθαρῶς ἔχουσαν. dictionem laudare, tanquam exactam et puram 83, a. οὐδὲ γὰρ ταῖς περὶ τὴν λέξιν εὐρυθμίαις καὶ ποικιλίαις κεκοσμήκαμεν αὐτόν. non enim eam (*orationem*) numerorum concinnitatibus aut varietatibus ad compositionem perficiendam requisitis ornavimus 87, e. ὥστ' ἂν καὶ τῇ λέξει (dictione) καὶ τοῖς ἐνθυμήμασιν ἔχῃ κακῶς 191, a. καὶ γὰρ τῇ λέξει ποιητικωτέρᾳ καὶ ποικιλωτέρᾳ τὰς πράξεις δηλοῦσι 319, d.

λέων] θεωροῦντες ἐν τοῖς θαύμασι (inter portenta) τοὺς λέοντας p. 473, 228.

λήθη] λήθην ἐμποιῆσαι τῶν πεπραγμένων. rerum gestarum oblivionem inducere 2, d.

λῆμμα] εἴ τι λῆμμα παραλελοίπασιν siquid lucelli reliquissent 144, d. ἀπὸ τῶν δικαστηρίων ζῶντες καὶ τῶν ἐκκλησιῶν καὶ τῶν ἐντεῦθεν λημμάτων 185, c. τῶν λημμάτων τῶν εἰθισμένων δίδοσθαι ταῖς ἀρχαῖς ἀπέχεσθαι μηδὲν ἧττον ἢ τῶν ἱερῶν 263, b. πολλῶν αἴτιαι γεγενῆσθαι τοῖς μὲν ἡττηθεῖσι κακῶν τοῖς δὲ κατορθώσασι λημμάτων. quæ, ut victis ingentia mala, sic victoribus emolumenta plurima peperere 271, c. τῶν δὲ λημμάτων τῶν παρὰ τῆς πόλεως ἀπεσχόμην p. 457, 163. p. 460, 175.

ληξιαρχικὸς] τὰς φρατρίας καὶ τὰ γραμματεῖα τὰ ληξιαρχικὰ τῶν οὐδὲν τῇ πόλει προσηκόντων ἐμπλήσαντες. tribus et Album iis hominibus qui ad urbem neutiquam pertinebant implentes 176, d.

ληρεῖν] οἶμαι γὰρ ἂν παῦσαι τοὺς ἐν τῷ Λυκείῳ ῥαψῳδοῦντας τἀκείνων καὶ ληροῦντας περὶ αὐτῶν. arbitror enim me effecturum ut isti in Lyceo versus illorum canere, et de eis nugari desinant 239, d. προσήκει τοὺς εὖ φρονοῦντας ληρεῖν νομίζειν αὐτοὺς 255, c. περὶ ὧν ἄλλοι τινὲς ληροῦσιν 235, b. ληρεῖν ἂν φαίη καὶ μαίνεσθαι τὸν κατήγορον p. 441, 96.

ληστὴς] οὐχ ὁμοίως τοῖς λησταῖς ἐβίωσαν 177, a.

λίαν] λέγοντες ὡς ἀτόποις καὶ λίαν ἀνοήτοις ἐπιχειρῶ πράγμασιν 86, a. λίαν ἀγαπᾶν 86, d. ὥστε μοι δοκεῖ πολλὰ λίαν εἶναι τὰ παρακελευόμενα πολεμεῖν αὐτοῖς 74, b. λίαν γάρ τινές μοι δοκοῦσιν ὡρμῆσθαι πρὸς τὸν πόλεμον 160, b. λίαν ἑτοίμως 123, d. λίαν ἀνόητός ἐστιν 125, d. λίαν εἰκῇ 165, c. λίαν ἀλαζονικὸν εἶναι καὶ μέγα τὸ ῥηθὲν ὑπέλαβον p. 438, 81.

λιγυρὸς] συμβιῶναι ἁπάντων ἥδιστος καὶ λιγυρώτατος. convictor omnium jucundissimus et disertissimus 414, a.

λίθινος] ἐν στήλαις λιθίναις ἀναγράψαντες. in lapideis columnis cum ea inscripsissemus 78, d.

λιμὴν] οὐδὲ λιμένας ἔχοντες οὐδ' ἀργυρεῖα 183, a. οὔτ' ἐμπορίῳ χρωμένη οὔτε λιμένα κεκτημένη 198, c. πρὸ τῶν λιμένων ἐξαίφνης ὀφθεὶς p. 450, 131.

λιπαρεῖν] ἀκούσαντες ταῦτα πολὺ μᾶλλον ἐλιπάρουν 424, c.

λογίδιον] τὰς ἐναντιώσεις ἐπὶ τῶν † λογιδίων τηροῦντες 292, c. τοιαῦτα λογίδια (oratiunculas) διεξιόντες 295, b.

λογίζεσθαι] πολλαχοῦ δ' ἄν τις λογίζομενος εὕροι. quod si quis in omnes partes animum vertat, invenerit 79, b. ratiocinari. τίς δ' οὐκ ἂν τῶν καὶ μετρίως λογιζομένων ταύτας ἄν σοι παραινέσεις μάλιστα προαιρεῖσθαι τῶν πράξεων 96, c. ἃ χρὴ † λογιζομένους μὴ φιλοψυχεῖν 134, d. χρὴ δὲ τοὺς καὶ μικρὰ λογίζεσθαι δυναμένους οὐκ ἐν τοῖς τῶν ἐχθρῶν ἁμαρτήμασι τὰς ἐλπίδας ἔχειν τῆς σωτηρίας 171, b. μάλιστα μὲν τῇ φιλανθρωπίᾳ τῇ σῇ † λογιζόμενος 415, b. ἐκ τῶν εἰκότων * λογισάμενος p. 462, 180.

λογισμὸς ratio 36, c. μετὰ λογισμοῦ καὶ φιλοσοφίας ἐξετάζων 88, b. οὐδενὶ * λογισμῷ χρώμενοι ὑπὲρ τῶν κοινῶν 97, b. τοῖς αὐτοῖς ἄν τις † λογισμοῖς χρώμενος τοὺς μὲν βλάψειεν, τοὺς δ' ὠφελήσειεν 97, c. τούτῳ χρώμενοι τῷ λογίσμῳ 140, c. εἰ καὶ μικρὸς λογισμὸς ἐνῆν αὐτοῖς 246, d.

λογονεχόντως] τὰς ἰσότητας καὶ τὰς δημοκρατίας ἐπαινῶν, οὐχ ὡς

ἔτυχον, ἀλλὰ δικαίως καὶ * λογονεχόντως æqualitatibus et democratiis laudatis; nec id a me factum esse temere aut fortuito, sed jure atque prudenter 152, a.

λογοποιεῖν] οἱ λογοποιοῦντες sermocinatores isti. πολλοὺς πείθουσι, καὶ μάλιστα μὲν τοὺς τῶν αὐτῶν κακῶν ἐπιθυμοῦντας ὧν περ οἱ λογοποιοῦντες. multis fidem faciunt, his præsertim qui eorundum malorum cum nugatoribus illis cupidi sunt 97, b. ἀλλὰ καὶ παίδων βρώσεις καὶ πατέρων ἐκτομὰς καὶ μητέρων δεσμοὺς κατ' αὐτῶν ἐλογοποίησαν 229, a. οἱ μὲν γὰρ τοὺς ἐν τοῖς ἰδίοις συλλόγοις λογοποιεῖν δυναμένους καὶ πάντα προσποιουμένους εἰδέναι θεραπεύουσιν p. 453, 144.

λογοποιὸς] περὶ δὲ τῶν ἄλλων τῶν τῇ ψυχῇ προσόντων ἀγαθῶν οὐδεὶς οὔτε τῶν ποιητῶν οὔτε τῶν λογοποιῶν οὐδεμίαν φανήσεται μνείαν πεποιημένος 104, b. ὁμολογεῖται δὲ παρὰ πάντων τῶν λογοποιῶν 228, c. ἀλλ' οἱ μὲν, οἶμαι, ποιητῶν ἔτυχον καὶ λογοποιῶν p. 453, 145.

λόγος] ὅσοι μὲν οὖν τοὺς προτρεπτικοὺς λόγους συγγράφουσι. quotquot igitur orationes exhortatorias scribunt 1, c. ὥστε πιστοτέρους εἶναι τοὺς σοὺς λόγους ἢ τοὺς τῶν ἄλλων ὅρκους 19, b. τοὺς ὠφελιμωτάτους τῶν λόγων ζητεῖν 24, b. διὰ τοὺς ἐξαμαρτάνοντας καὶ τοὺς ψευδομένους πρὸς τοὺς λόγους χαλεπῶς ἔχουσι propter eos, qui decipiunt et mentiuntur, irascuntur eloquentiæ 27, b. λόγος ἀληθὴς καὶ νόμιμος καὶ δίκαιος 28, a. περὶ ὧν ἂν ἐν τοῖς λόγοις κατηγορῆτε, μηδὲν τούτων ἐν τοῖς ἔργοις ἐπιτηδεύετε. quæcunque verbis criminamini, horum nihil re sectemini 39, c. ἡγοῦμαι δ' οὕτως ἂν μεγίστην ἐπίδοσιν λαμβάνειν τὴν περὶ τοὺς λόγους φιλοσοφίαν 42, e. θαυμάζειν μὴ τοὺς πρώτους τῶν † λόγων ἀρχομένους ibid. ζητήσοντες ἰδεῖν τι τοιοῦτο ἐν τοῖς ἐμοῖς † λόγοις 43, b. χαλεπόν ἐστιν τοὺς λόγους τῷ μεγέθει τῶν ἔργων ἐξευρεῖν 43, c. μετὰ λόγου καὶ μὴ μετὰ βίας. sermone non vi 48, d. ὁμοίως τὰς ἐν τοῖς ἔργοις ὁμολογίας ὥσπερ τὰς ἐν τοῖς λόγοις διαφυλάττων 197, e. πιστοτέροις μὲν τοῖς λόγοις ἢ νῦν τοῖς ὅρκοις χρώμενοι. verbis magis fidis quam nunc jurejurando utentes 56, e. τοὺς λόγους ὥσπερ χρησμοὺς εἰς τὸν ἐπιόντα χρόνον καταλείπειν. orationes tanquam oracula in posterum tempus relinquere 76, c. διαδοθέντος τοῦ λόγου. hac edita oratione 83, d. καίτοι μι οὐ λέληθεν ὅσον διαφέρουσι τῶν λόγων εἰς τὸ πείθειν οἱ λεγόμενοι τῶν ἀναγιγνωσκομένων. neque vero me latet, quantum ad persuadendum intersit inter orationes quæ ab ipso oratore pronunciantur, et eas quæ recitantur 87, c. οὐδενὶ † λόγῳ χρώμενοι ὑπὲρ τῶν κοινῶν 97, b. καὶ ταχέως ἅπαντα τῷ λόγῳ καταστρεφόμενοι. ac omnia celeriter verbis evertentes ibid. τοῖς αὐτοῖς ἄν τις λόγοις χρώμενος τοὺς μὲν βλάψειεν, τοὺς δ' ὠφελήσειεν 97, c. εἰς λόγον ἐλθεῖν προκαλεσάμενος. ad colloquium ut venirent, cum invitasset 100, c. μηδεμίαν μάχην ἀξίαν λόγου φαίνεσθαι μεμαχημένους 127, b. ἀλλὰ γὰρ οὐ δύναμαι διὰ τὴν ἡλικίαν ἅπαντα τῷ λόγῳ περιλαβεῖν 187, b. ἀλλ' ἀποπειρατέον τῶν λόγων ἐστὶν εἰ καὶ τοῦτο δυνήσονται, τοὺς ἀγαθοὺς ἄνδρας εὐλογεῖν. sed periculum faciendum est an etiam oratione

fortes viri celebrari possint 191, b. ἃς ἐν τοῖς λόγοις ἄν τις μόνον τοῖς τεχνικῶς ἔχουσι θεωρήσειεν. quæ (simulachra mentis et actionum) in artificiosis duntaxat orationibus conspiciuntur 204, a. ὅσῳ περ περὶ μειζόνων καὶ καλλιόνων ἢ κεῖνοι τοὺς λόγους ἐποιούμην 235, b. ὅτι λόγος ὑπῆρχεν αὐτοῖς ἴδιος καὶ καλὸς μόνοις τῶν Ἑλλήνων. quod soli Græcorum omnium hac peculiari et præclara prærogativa gloriari possent 286, d. τὸ δὲ τῶν λόγων πᾶν τοὐναντίον πέπονθεν quum eloquentiæ sit diversissima ratio 293, d. τοὺς μὲν γὰρ λόγους οὐχ οἷόν τε καλῶς ἔχειν quod orationes præclaræ esse non possunt. ibid. ὥσθ' οἱ μὲν ἄλλοι τοῖς λόγοις διαλύονται τὰς διαβολὰς, ἐμοῦ δὲ Λυσίμαχος αὐτοὺς τοὺς λόγους μάλιστα διαβέβληκεν 313, c. δύο λόγω περὶ τῶν αὐτῶν πραγμάτων ἀντειπεῖν 208, a. οὐδὲν ἄξιον λόγου διαπεπραγμένοι 248, a. τῆς Θηβαίων πόλεως πλείω ποιήσασθαι λόγον ἢ τῶν ὅρκων καὶ τῶν συνθηκῶν 304, a. τοὺς ἥττους λόγους κρείττους δύναμαι ποιεῖν. causas inferiores superiores facere possum 313, b. παμπληθεῖς εἰσὶν οἱ παρασκευάζοντες τοὺς λόγους τοῖς ἐν τοῖς δικαστηρίοις ἀγωνιζομένοις 318, c. οὓς (λόγους) ἅπαντες ἂν φήσειεν ὁμοιοτέρους εἶναι τοῖς μετὰ μουσικῆς καὶ ῥυθμῶν πεποιημένοις ἢ τοῖς ἐν δικαστηρίῳ λεγομένοις 319, c. λόγος ἀληθὴς καὶ νόμιμος καὶ δίκαιος ψυχῆς ἀγαθῆς καὶ πιστῆς εἴδωλον ἐστὶ p. 483, 273. εἰ πρέπον εἰς τὸν * λόγον εἴη 419, b. eloquentia. πρὸς τοὺς λόγους χαλεπῶς ἔχουσι. eloquentiæ irascuntur 27, b. πρὸς ἅπαντας τοὺς λόγους δυσκόλως διάκεινται. in eloquentiam universam iniquo sunt animo 27, c. τῶν ἔργων καὶ τῶν διανοημάτων ἁπάντων ἡγεμόνα λόγον ὄντα εὑρήσομεν. operum et cogitationum omnium ducem esse eloquentiam inveniemus 28, b. λόγῳ καλῶς χρώμενοι. eloquentia pulchre utentes 50, d. καὶ σχεδὸν ἅπαντα τὰ δι' ἡμῶν μεμηχανημένα λόγος ἡμῖν ἐστὶν ὁ συγκατασκευάσας p. 483, 271. ratio. κατὰ τὸν αὐτὸν λόγον. eadem ratione 29, d. τὸ παρὰ λόγον συμβαῖνον. quod præter rationem vel expectationem accidit 421, a. λόγος et ἔργον inter se opponuntur. λόγῳ παραδοὺς τὴν χώραν ἡμῖν αὐτὸς ἔργῳ κρατήσεις αὐτῆς 83, c. καὶ λόγῳ μὲν μέλλεις Μεσσηνίοις βοηθεῖν, ἔργῳ δ' ὑπὸ σαυτῷ ποιεῖσθαι Πελοπόννησον 96, e. 106, d. καὶ μὴ λόγῳ μὲν αὐτονόμους ἀφιῶμεν, ἔργῳ δὲ τοῖς στρατηγοῖς αὐτοὺς ὅ τι ἂν βούλωνται ποιεῖν ἐκδιδῶμεν 186, a. ἀφέμενοι ταύτης τῆς τερθρείας, τῆς ἐν μὲν τοῖς λόγοις ἐξελέγχειν προσποιουμένης, ἐν δὲ τοῖς ἔργοις πολὺν ἤδη χρόνον ἐξελεγχομένης. omissis præstigiis illis, quæ quum verbis alios convincere se profiteantur, reipsa jam olim ipsæ convictæ sunt 209, a. λόγῳ μὲν πολεμεῖν ὑπὲρ Ἑλένης τῆς Μενέλεω γυναικὸς, ἔργῳ δ' ὑπὲρ τοῦ μὴ τὴν Ἑλλάδα πάσχειν ὑπὸ τῶν βαρβάρων τοιαῦτα 249, a. λόγῳ μὲν πρὸς μίαν πόλιν πολεμήσας, ἔργῳ δ' οὐ μόνον πρὸς ἅπαντας τοὺς τὴν Ἀσίαν κατοικοῦντας, ἀλλὰ καὶ— 249, d. ἐκπέμπουσι τοὺς παῖδας λόγῳ μὲν ἐπὶ θήραν, ἔργῳ δ' ἐπὶ κλωπείαν τῶν ἐν τοῖς ἀγροῖς κατοικούντων. pueros allegant (Spartani) verbo ad venationem: re ad eos per furtum spoliandos qui ruri habitant 277, b. καίτοι πηλίκας τινὰς χρὴ ποιεῖσθαι τὰς τιμωρίας ὑπὲρ τῶν ἔργῳ παθόντων κακῶς, ὅταν ὑπὲρ τῶν λόγῳ μόνον

ἀκηκοότων οὕτως ὀργιζόμενοι φαίνησθε 396, a. λόγοι et πράξεις inter se opponuntur. οἷον ἴσως καὶ νῦν τοὺς μὲν λόγους ἡμῖν ἀπένειμαν, ἐπὶ δὲ τὰς πράξεις σὲ τάττουσι. ad hunc modum fieri potest, ut nobis orationem tribuerint, te vero gerendis rebus præfecerint 112, d.

λοιδορεῖν] ἐν μὲν ταῖς πρὸς ἀλλήλους συνουσίαις ἢ λοιδοροῦντες ἢ λοιδορούμενοι 24, a. ἐπ' ὠφελείᾳ * λοιδοροῦντες. qui ob utilitatem *audientium* convitiantur 67, d. τοιαῦτα † λοιδοροῦντες ibid. μολύνεσθαι καὶ λοιδορεῖσθαι τοῖς ἐπὶ τοῦ βήματος κυλινδουμένοις. conspurcare et convitiari eos qui assidui sunt ad rostra 98, c. τῶν ἄλλων τῶν ἐπιχειρησάντων ἐκεῖνον λοιδορεῖν τοσοῦτο μόνον περὶ αὐτοῦ βλασφημούντων, ὡς— 222, c. λοιδορούμενοι ἐν ταῖς ἐκκλησίαις περὶ μεσεγγυώματος σφίσιν αὐτοῖς 235, c. ἐν ταῖς πανηγύρεσι μάλιστα μὲν λοιδορούμενοι. in celebritatibus maxime quidem convicia moventes 260, d. λοιδοροῦσι δὲ λίαν ἀσελγῶς καὶ θρασέως τὸν ἄλλον βίον τὸν τοῦ πατρὸς 351, a. ὑπισχνούμενοι, ἐρίζοντες, λοιδορούμενοι p. 456, 159.

λοιπὸς] καίτοι τί λοιπὸν ἔσται τοῖς ἀντιλέγουσιν. et quidem quid contradicentibus reliquum erit 54, b. τὰς δὲ τέχνας δοκιμάσασα χρῆσθαι τοῖς † λοιποῖς παρέδωκεν 48, d. τοῖς λοιποῖς αἴτιοι γενέσθαι τῆς δουλείας 60, d. ἐπιλίποι δ' ἂν με τὸ λοιπὸν μέρος τῆς ἡμέρας 170, e. τὸν * λοιπὸν χρόνον ἐπιμελεῖσθαι 207. οὐ ποιήσεις τοῦ λοιποῦ πονηρὰς ὑποθέσεις 231, a. ἐκείνης μὲν καὶ τῶν † λοιπῶν ἀπηλλάγη 385, e. ἓν ἔτι λοιπὸν 426, d.

λοχαγὸς] ἅπαντας δὲ τοὺς λοχαγοὺς ἐπεῖδε διαφθαρέντας 268, c. ὁ δὲ τοῖς τοιούτοις λοχαγοῖς ἐχρῆτο καὶ ταξιάρχοις p. 448, 123.

λύειν] πάλαι λύεται. ea olim abrogata sunt 77, d. λέλυκα τὸ στόμα 252, c. οὐκ ἄδηλος ἦν ὁ κόσμος ὁ τῆς πολιτείας τῆς πρότερον ὑπαρχησούσης λυθησόμενος 256, d. τὰς συνθήκας λύειν ἐπιχειροῦντες 371, b. λύεσθαι redimere. λυόμενοι εἴκοσι καὶ τριάκοντα μνῶν p. 491, 307.

λυμαίνεσθαι τοῖς κοινοῖς 30, c. εὑρήσετε γὰρ τὰς μὲν ἄλλας ἀδικίας μέρος τι τοῦ βίου βλαπτούσας, τὴν δ' ὕβριν ὅλοις τοῖς πράγμασι λυμαινομένην 397, b. cum acc. ἡμῶν δέ τινές εἰσιν οἱ λυμαινόμενοι καὶ κακῶς ποιοῦντες αὐτήν. nostrûm autem aliqui sunt qui eam (Græciam scil.) vexant et malis afficiunt 77, d. ἐλυμαίνοντο δὲ τὴν Πελοπόννησον καὶ μεστὴν στάσεων καὶ πολέμων ἐποίησαν 179, b. μηδὲ προσέχειν τὸν νοῦν τοῖς φιλεῖν μὲν τὸν δῆμον φάσκουσιν, ὅλην δὲ τὴν πόλιν λυμαινομένοις 183, d. ἕως μὲν οὖν τοὺς λόγους μου ἐλυμαίνοντο. dum igitur meas orationes male tractarunt 236, c. λυμαινόμενος τὰς ἀρχάς. qui magistratus vexat 373, c. ὧν εἰκὸς ὑμᾶς μεμνημένους τιμωρεῖσθαι μὴ μόνον τοὺς τότε λυμηναμένους ὑμᾶς 397, d. ἐκείνοις μὲν γὰρ τοῖς ἐπιτηδεύμασιν ἐλυμαίνοντο τοὺς αὑτῶν παῖδας 278, c.

λυμεὼν pestis. σωτῆρες ἀλλὰ μὴ λυμεῶνες ἀποκαλεῖσθαι. servatores non vastatores vocari 56, e. σωτῆρες ἀλλὰ μὴ λυμεῶνες τῶν Ἑλλήνων κληθῆναι 187, b.

λυπεῖν] λυποῦ δὲ μετρίως ἐπὶ τοῖς γιγνομένοις τῶν κακῶν 11, b.

ἀλλὰ λυποῦνται μὲν περὶ τῶν ἰδίων λογιζόμενοι 24, a. ἀλλὰ ταῖς αὑτῶν ἡδοναῖς λυποῦσι ταύτας ὑφ' ὧν αὐτοὶ μηδὲν ἀξιοῦσι λυπεῖσθαι 35, a. καὶ μὴν οὐδὲ τὰς πόλεις λυπήσομεν στρατιώτας ἐξ αὐτῶν καταλέγοντες 79, d. τὰς δὲ σφόδρα λυπούσας αὐτὸν ἀναστάτους πεποίηκεν 86, c. ἐπὶ μὲν τοῖς γεγενημένοις ἂν λυπηθεῖμεν 125, c. ὥστε σφᾶς μὲν αὐτοὺς μὴ * λυπεῖν 156, d. οὐκ ἔστιν ἥν τινα τῶν Ἑλληνίδων πόλεων ἐλύπησεν 248, b. συγγραφεὺς τῶν λόγων τῶν λυπούντων ὑμᾶς 317, c. ἔργον ποιούμενος ὅπως μηδένα μήτ' ἀδικήσω μήτ' ἐνοχλήσω μήτε λυπήσω p. 457, 164.

λύπη] τούτων ἐγκράτειαν ἄσκει πάντων, κέρδους, ὀργῆς, ἡδονῆς, λύπης 6, c.

λυπηρὸς] τὸ γὰρ ἄκαιρον πανταχοῦ λυπηρὸν intempestiva enim ubique molesta sunt 8, e.

λυπηρῶς καὶ βαρέως ἔφερον 199, d.

λυσιτελεῖν] ὁπωσοῦν ζῆν ἡγοῦνται λυσιτελεῖν. quamcunque vitæ rationem inire expedire censent 15, e. τοῖς κρείττοσι τοῦ λυσιτελοῦντος ἕνεκα συναδικεῖν. una cum potentioribus commodi privati gratia injuste agere 51, d. τῶν πόλεων ταῖς ὑπερεχούσαις λυσιτελεῖ. urbibus præstantissimis expedit 60, c. ἐγὼ δ' οὔτε τοῖς συμμάχοις ἡγοῦμαι λυσιτελεῖν τοὺς ἀσθενεστέρους τοῖς κρείττοσι δουλεύειν 303, a.

λυσιτελὴς] τὸ λυσιτελὲς ἐάσας 250, c.

λωποδύτης] τοῦτον ἀπαγαγὼν ἀνδραποδιστὴν καὶ κλέπτην καὶ λωποδύτην p. 441, 96.

λωφᾶν respirare, interquiescere. ἀλλ' οὕτως αἱ τοιαῦται συμφοραὶ κατ' ἐκεῖνον τὸν χρόνον ἐλώφησαν p. 451, 135.

πολιτικῶς] οὕτω δὲ πολιτικῶς εἶχον. ita autem rempublicam amabant 56, d. οὐδὲ κοινῶς οὐδὲ πολιτικῶς nec communiter, nec civiliter ἐβίωσαν 72, b.

πολῖτις] ἐκ πολιτίδων ὑμετέρων γεγόναμεν. e *fœminis* quæ vestræ cives erant nati sumus 306, c.

πολίχνιον oppidulum. ἐν μικροῖς πολιχνίοις καὶ νησυδρίοις τὰς ἀρχὰς κατασχόντες 111, d. ὀνειδίζοντες ἡμῶν τῇ πόλει τὰς Μηλίων καὶ τὰς τῶν τοιούτων πολιχνίων συμφορὰς 251, a.

πολλάκις νικῆσαι μαχόμενος p. 449, 131.

πολλαπλάσιος] πολλαπλασίαν (χώραν scil.) τῆς ὑπαρχούσης κτήσασθαι. longe majorem (regionem) quam quæ adest parasse 33, e. ἑλοίμην ἂν ἀποθανεῖν μᾶλλον ἢ * πολλαπλάσιον χρόνον ζῆν τοῦ τεταγμένου 117, d. μηδ' ἐν πολλαπλασίῳ χρόνῳ δυνηθέντες καταστῆσαι σφᾶς αὐτοὺς εἰς τὴν αὐτὴν ἕξιν ἐξ ἧσπερ ἐξέπεσον. ne multiplici quidem temporis spatio se in integrum restituere, pristinumque dignitatis gradum recuperare potuerunt 244, d.

πολλαχοῦ δ' ἄν τις λογιζόμενος εὕροι. quod si quis in omnes partes animum vertat, inveniat— 79, b.

πολλαχῶς] περὶ τῶν αὐτῶν πολλαχῶς ἐξηγήσασθαι. de rebus iisdem variis modis narrare 42, c.

πολλοστὸς unus e multis. πολλοστὸς ὢν Συρακοσίων καὶ τῷ γένει καὶ τῇ δόξῃ 95, b. πολλοστοῦ μέρους τῆς ἀξίας πωλεῖν. minima veri ipsius pretii parte vendere 291, d.

πολὺ] πολὺ κρεῖττόν ἐστι μικρὸν προέχειν ἐν τοῖς μεγάλοις μᾶλλον ἢ πολὺ διαφέρειν ἐν τοῖς μικροῖς 209, b. τοιαύτης δὲ τιμῆς τυχεῖν οὐχ οἷόν τε μὴ οὐ τὸν πολὺ τῇ γνώμῃ διαφέροντα. talem autem honorem adipisci contingere non potest, nisi viro laude sapientiæ præstantissimo 217, c.

πολυμαθὴς] ἐὰν ᾖς φιλομαθὴς, ἔσει πολυμαθὴς 5, d.

πολυπαιδία] εὐπαιδίας τυχεῖν ἅμα καὶ πολυπαιδίας. prolem bonam et numerosam simul obtinere 203, d.

πολυπλασίων] ζῆν πολυπλασίω χρόνον p. 464, 109.

πολυπραγμονεῖν περὶ τῶν Ἑλληνικῶν πραγμάτων 156, b. κρεῖττόν ἐστι τὸ σωφρονεῖν τοῦ πολυπραγμονεῖν 171, b.

πολυπραγμοσύνη] πρὶν ἂν πεισθῆτε τὴν μὲν ἡσυχίαν ὠφελιμωτέραν καὶ κερδαλεωτέραν εἶναι τῆς πολυπραγμοσύνης 164, c. ἐκ μὲν τῆς τοιαύτης πολυπραγμοσύνης εἰς τοὺς ἐσχάτους κινδύνους κατέστημεν 165, b. 181, b. 319, e. πολυπραγμοσύνης καὶ πλεονεξίας ὑπέστησαν εἶναι διδάσκαλοι 295, c.

πολυπράγμονες μαθηταὶ p. 443, 105. πολυπράγμονας καὶ συκοφάντας εἶναι p. 477, 245. 478, 253.

πολὺς] ἡγοῦ τῶν ἀκουσμάτων πολλὰ πολλῶν χρημάτων κρείττω 5, c. ἐν πολλαῖς ἀπορίαις ὄντες 22, d. τῶν μὲν ἄλλων πράξεων ἑώρων

ἐγκρατεῖς καὶ τοὺς πολλοὺς γιγνομένους 34, e. καὶ σὺ *πολὺν χρόνον ἤδη πᾶσιν ἡμῖν ἐπιβουλεύεις 96, e. *πολλὴν ἂν ἡσυχίαν ἦγον 116, a. † πολλὴν ποιεῖσθαι τὴν ἐπιμέλειαν 129, b. πολλῶν δὲ πραγμάτων ἡμῖν καὶ δεινῶν ἐφεστώτων 135, c. πολλὰ καὶ καλὰ διαπραξάμενοι 143, b. πολλὰ καὶ δεινὰ παθόντες ibid. ὡς οἱ τοὺς *πλείστους λέγοντες 194, b. ἐγὼ δὲ καὶ τῶν ἰδιωτῶν τοὺς ὀλίγα μὲν κατορθοῦντας πολλὰ δ' ἐξαμαρτάνοντας μέμφομαι. ego vero etiam privatos homines, qui pauca recte agunt, in multis delinquunt, accuso 154, c. πάντες ἴσασι τῶν μὲν ῥητόρων τοὺς πολλοὺς οὐχ ὑπὲρ τῶν τῇ πόλει συμφερόντων δημηγορεῖν τολμῶντας 235, b. πολλῶν αἴτιαι τοῖς μὲν ἡττηθεῖσι κακῶν τοῖς δὲ κατορθώσασι λημμάτων. quæ ut victis ingentia mala, sic victoribus emolumenta plurima peperere 271, c. πολλαῖς γενεαῖς πρότερον γεγονότες 275, e. ἐπὶ πολλῶν καὶ παντοδαπῶν καὶ δυσκόλων πραγμάτων ὀρθῶς ἀεὶ πράττων καὶ νουνεχόντως διατετέλεκεν p. 451, 136. πανταχοῦ πολλὴν ἀφθονίαν εὕροι τις ἂν τῶν συμπονηρεύεσθαι καὶ συνεξαμαρτάνειν βουλομένων p. 476, 240. † πολλὴν ἡγούμεθα μάλιστα προσήκειν ὑμῖν περὶ τῆς πόλεως ποιήσασθαι πρόνοιαν 297, a. πολλῶν δ' ἐφεστώτων μοι λόγων ἀπορῶ πῶς αὐτοὺς διαθῶμαι 343, c. πολλοὺς ἐπῆρεν ἡ τῶν τριάκοντα πονηρία τοιαῦτα ποιεῖν 374, d. πολλὰς μυριάδας αὐτοῖς συναπώλεσαν 408, c. αἱ γὰρ μετριότητες παρὰ τοῖς πολλοῖς εὐδοκιμοῦσιν 412, d. πειρώμενοι τοὺς μὲν φεύγοντας ὀλίγους ποιεῖν τοὺς δὲ συμπολιτευομένους πολλοὺς 424, d. τὸν βίον ἡδίω νομίσας εἶναι τοῦτον ἢ τὸν τῶν πολλὰ πραττόντων p. 457, 162. εὑρήσεις γὰρ ὡς ἐπὶ τὸ πολὺ (ut plurimum) 21, d. μὴ καθ' ἓν ἕκαστον, ἀλλ' ὡς ἐπὶ τὸ πολύ. non singulatim, sed in genere 72, c. ἐκ πολλοῦ. jam olim 46, d. πρὸ πολλοῦ ποιησαίμην ἂν 85, a. πρὸ πολλοῦ δ' ἂν ἐποιησάμην 110, b. παρὰ πολύ. plurimum 172, a. ὃ ἐγὼ περὶ πλείστου ποιοῦμαι 358, a. οἱ πολλοὶ plebs. 34, e. 411. ποιεῖν ἢ γράφειν τι κεχαρισμένον τοῖς πολλοῖς 24, b. ἡγούμενος σὲ δεῖν, οὐχ ἕνα τῶν πολλῶν, ἀλλὰ πολλῶν βασιλεύοντα, μὴ τὴν αὐτὴν γνώμην ἔχειν τοῖς ἄλλοις 24, d. δεινὸν ἡγούμενοι τοὺς πολλοὺς ὑπὸ τοῖς ὀλίγοις εἶναι 62, c. αἴτιον δ' ἦν τοῦ ταῦτα τοῖς πολλοῖς ἀρέσκειν 144, c. κατὰ τὴν δόξαν τὴν τῶν πολλῶν 287, d.

πολυτέλεια] τὴν μεγαλοπρέπειαν ἐπιδείκνυσο μηδ' ἐν μιᾷ τῶν πολυτελειῶν, ἀλλ'— 18, d. οὐ γὰρ ἐν ταῖς πολυτελείαις ἐνόμιζον εἶναι τὴν εὐσέβειαν 145, d.

πολυτελὴς] ὥστε καλλίους εἶναι καὶ πολυτελεστέρας τὰς οἰκήσεις 150, b.

πολυτελῶς] τὰς δ' ἄλλας λειτουργίας πολυτελέστερον λελειτουργήκατε p. 456, 155. 458, 167.

πομπὴ pompa. οὐ γὰρ ἐκ τῶν πομπῶν τὴν εὐδαιμονίαν ἐδοκίμαζον 150, c.

πονεῖν] ὑπὲρ τῶν κοινῶν ἰδίᾳ πονοῦντες 41, a. λόγοι πρὸς ὑπερβολὴν πεπονημένοι 43, a. ὅταν ἴδωσι τοὺς ἀθλητὰς αὑτῶν ἕνεκα πονοῦντας 49, d. *πονεῖν ἐπικεχείρηκας 207. ἐπὶ τὸ φιλοσοφεῖν καὶ πονεῖν καὶ γράφειν ἃ διανοηθείην κατέφυγον 235, a. ἐδέοντό μου καὶ συνεβούλευον πονῆσαι μικρὸν χρόνον 289, b. ἐξὸν δ' αὐτοῖς ῥᾳθυμεῖν μηδὲν δαπανωμένοις εἵλοντο πονεῖν χρήματα τελέσαντες p. 491, 308.

quidem cave sodalitates illas quæ una cum compotationibus fiunt 9, a. ἐν πότοις καὶ συνουσίαις τὴν ἡλικίαν διάγειν p. 491, 305.

πρᾶγμα] τὰ πλεῖστα τῶν περὶ τὸν βίον οὐ δι' αὐτὰ τὰ πράγματα ποιούμενοι ἀλλὰ τῶν ἀποβαινόντων ἕνεκεν διαπονοῦμεν 12, c. χαλεπώτατον πάντων τῶν † πραγμάτων 21, d. τὸ μὲν ἐπ' αὐτῶν τῶν ἔργων γυμνάζεσθαι δύνασθαί σε χρῆσθαι τοῖς πράγμασι ποιήσει. rerum quidem gerendarum exercitatione id consequeris ut res dextre administres 22, a. τὴν τῶν ἀνθρώπων πονηρίαν ἐπὶ τὰ πράγματα μεταφέρειν. in res transferre 27, c. χρῆσθαι τοῖς πράγμασιν ἐπιστάμενοι 31, a. τοῦ πράγματος ἀξίως εἰπεῖν καὶ τοῦ χρόνου 43, d. ὅλων μὲν τῶν πραγμάτων ἐπιστατοῦντες. summæ quidem rerum nosmet præficientes 62, c. λέγων ὡς ἀμφότεροι διαμαρτάνετε τῶν πραγμάτων. dicendo, quod utrique a rerum veritate seu ab utilitate aberraretis 82, c. ὡμολόγουν δὲ μηδενὸς πώποτε τοσοῦτον πράγματος διαμαρτεῖν 87, a. καίτοι τίς ἂν προσεδόκησεν ὑπ' ἀνδρὸς οὕτω ταπεινῶς πράξαντος ἀναστραφήσεσθαι τὰ τῆς Ἑλλάδος πράγματα 95, a. φαίνονται γὰρ κἀκεῖνοι κρατήσαντες ἂν τῶν βασιλέως πραγμάτων, εἰ μὴ διὰ Κῦρον. constat enim etiam eos fuisse potituros rebus regis, nisi per Cyrum impediti fuissent 100, e. πολλὰ πράγματα σχόντες. multas passi molestias 146, b. ἐν τοῖς καθεστηκόσι πράγμασι. isto rerum statu 151, c. ἐμπειρότατοι δὲ λόγων καὶ πραγμάτων ὄντες οὕτως ἀλογίστως ἔχομεν, ὥστε— 169, c. ἐν τοῖς αὐτῶν πράγμασι καὶ ταῖς αὐτῶν διανοίαις τὰς ἐλπίδας ἔχειν τῆς σωτηρίας 171, c. ἀποροῦντες ὅ τι χρήσωνται τοῖς * πράγμασιν 200, a. ᾐσθάνετο δὲ τὰς ἐπιδόσεις αὐτῷ καὶ τῆς δόξης καὶ τῶν πραγμάτων οὐ κατὰ μικρὸν γιγνομένας (non lente progredientes) 201, a. αἱ φύσεις αἱ τῶν πραγμάτων οὔτ' ὠφελοῦσιν οὔτε βλάπτουσιν ἡμᾶς. rerum naturæ nobis *per se* neque prosunt nec obsunt 279, b. ταὐτὰ γιγνώσκειν περὶ τῶν ἔξω * πραγμάτων ἀλλήλοις 279, d. πράγματα σφίσιν αὐτοῖς παρέχοντες. negotium sibi facessentes 284, d. ἐπειδὴ δ' ἀπολέλαυκα τοῦ πράγματος p. 468, 208. οὐ μὴν ἀλλὰ κἀκεῖνος ἑνὸς πράγματος διήμαρτε p. 615, 13.

πραγματεία] προειλόμην διὰ τῆς αὐτῆς πραγματείας ἅμα τοῦ τε παρόντος βίου συμβουλίαν ἐξενεγκεῖν, καὶ τοῦ μέλλοντος χρόνου παράγγελμα καταλιπεῖν. propositum mihi fuit, una eademque opera et de præsenti vitæ ratione consilium promere, et quid in posterum tibi faciendum esset denuntiare 11, d. τὰς μὲν πραγματείας lites αὐτοῖς καθίστη ἐπιζημίους (damnosas) 18, c. ὄντος δ' οὖν ἐμοῦ περὶ τὴν πραγματείαν ταύτην. cum autem ipse in hac re *sive in hoc argumento* versarer 83, e. συνέβαινεν οὖν ἐκ μὲν τῆς πραγματείας τῆς ὑπὲρ τῶν ἑταίρων. factum est igitur ex illo pro amicis conatu 99, d. τῆς δὲ πραγματείας οὐκ ἀπέστην. ab instituto autem non recessi 108, d. ἐν ταῖς ἄλλαις πραγματείαις ταῖς περὶ τὸν βίον ἀφρονέστεροι ὄντες τῶν μαθητῶν 238, d. πολλὴν ἔχων πραγματείαν. multum laborem variamque tractationem postulans 312, a. τί οὖν ἐστὶ τὸ συμβεβηκὸς ἀγαθὸν ἐκ τοῦ πολέμου τοῦ περὶ τὰς ἀποικίας καὶ πραγματείας. quodnam igitur bonum a bello de coloniis et occupationibus gesto contigerit 268, a. ἡγούμενος ἐκ τῆς περὶ τὰ δικαστήρια πραγματείας εἰς ὀργὴν καὶ μῖσος ὑμᾶς καταστήσειν. existimans judiciorum tractatione interserenda, vestram iracundiam et odium contra me concitaturum 316, d. τοὺς μὲν τοίνυν ἀπὸ τῶν συμβολαίων τῶν ὑμετέρων ζῶντας καὶ τῆς περὶ ταῦτα πραγματείας ἴδοιτ' ἂν μόνον οὐκ ἐν τοῖς δικαστηρίοις οἰκοῦντας. qui igitur e contractibus, qui in vestrum judicium afferuntur, atque ex istiusmodi occupationibus victitant, eos in foro tantum non habitare videatis 317, e. πόρρω τῶν πραγματειῶν εἰμὶ τῶν περὶ τὰ συμβόλαια γιγνομένων. a rebus illis alienissimus sum, quæ ad forensia negotia pertinent, vel quæ de contractibus fiunt 318, c. ὅτ' ἠρχόμην περὶ ταύτην εἶναι τὴν πραγματείαν p. 468, 206.

πραγματεύεσθαι] πλείω πεπραγματευμένοι καὶ μᾶλλον ἀπηκριβωμένοι. qui exercitatiores sunt et accuratiores 221. περὶ ἐκείνους ἐπραγματευόμην (illas orationes tractabam) τοὺς περὶ τῶν συμφερόντων τῇ τε πόλει καὶ τοῖς ἄλλοις Ἕλλησι 233, a. οὔτε νῦν ἔχων ταύτην τὴν διάνοιαν ἐπραγματευσάμην. neque nunc eo animo hoc opus sum aggressus 419, a.

πραγματώδης operosus. πολὺ τούτων πραγματωδέστερα συγγράμματα κατέλιπον ἡμῖν 208, c.

πρακτέος] εἰδότες ὃ πρακτέον ἐστὶν 160, c. ἀλλὰ σκεπτέον εἶναι καὶ πρακτέον ἡγήσαντο 267, c. ἃ πρακτέον ἐστὶν εἴσονται 291, c. ὅ τι πρακτέον ἢ λεκτέον ἐστὶν ἐκ τῶν λοιπῶν p. 487, 290. ὧνπερ ἕνεκα πάντα πρακτέον ἐστὶν p. 490, 304.

πρᾶξις actio. ὧν τὰς δόξας ζηλοῖς, μιμοῦ τὰς πράξεις 22, c. οἱ δὲ (Tragœdi) τοὺς μύθους εἰς ἀγῶνας καὶ πράξεις κατέστησαν 24, c. e. τὰς ἡμέρας καὶ τὰς νύκτας ἐπὶ ταῖς πράξεσιν ὄντες. die nocteque in negotiis perficiendis versati 30, e. αἱ μὲν γὰρ πράξεις αἱ προγεγενημέναι κοιναὶ πᾶσιν ἡμῖν κατελείφθησαν. actiones enim præteritæ nobis omnibus ex æquo sunt relictæ 42, d. τὰς πράξεις τὰς τῆς πόλεως ἐφεξῆς διελθεῖν 45, e. πειρασόμενός σε προτρέπειν ἐπὶ πράξεις οἰκειοτέρας καὶ καλλίους 85, e. πεισθῆναι ῥᾳδίαν εἶναι τὴν πρᾶξιν 95, b. νομίζων τοὺς περὶ τοῦτο διατρίβοντας ἀργοτέρους εἶναι πρὸς τὰς πράξεις. istos qui in eo studii genere versentur, in rebus gerendis ignaviores esse existimans 119, a. ἀνάγκη γὰρ ἐκ τῶν αὐτῶν πολιτευμάτων καὶ τὰς πράξεις ὁμοίας ἀεὶ καὶ παραπλησίας ἀποβαίνειν. ex eadem enim gubernandi ratione actiones etiam semper æquales et consimiles existere necesse est 156, a. τὰς αὐτὰς πράξεις ἐπὶ πάντων τῶν ὁμοίων φαίνονται γνωρίζοντες 182, c. καὶ τῶν ἐνθυμημάτων τοῖς περὶ τὰς αὐτὰς τὰς πράξεις ἀναγκαῖόν ἐστι χρῆσθαι. et enthymematibus (vel sententiis) quæ circa res ipsas versantur (vel ex rebus ipsis oriuntur) necesse est utantur 190, e. πλεῖν ἐπὶ τηλικαύτην † πρᾶξιν τὸ μέγεθος 194, c. μιᾶς μόνον μνησθήσομαι πράξεως 259, a. εἰδὼς τοὺς μὲν ἐπὶ ταῖς αὐταῖς πράξεσι συνεχῶς διαμένοντας εἰς ὑπερβολὴν ἕκαστον ἀποτελοῦντας. haud ignarus eos qui rebus iisdem perpetuo essent occupati, in suo scientiæ genere plurimum excellere 224, d. τὰς παλαιὰς πράξεις καὶ

παῖδας τοὺς αὑτῶν ἐκείνῳ (Pythagoræ) συγγιγνομένους ἢ τῶν οἰ-
κείων ἐπιμελουμένους 227, b. ἡγοῦμαι γὰρ οὐ τῶν πρεσβυτάτων ἔργον
εἶναι περὶ τῶν τοιούτων συμβουλεύειν 321.

πρεσβύτικος] εἴ τι περιεργότερον καὶ πρεσβυτικώτερον εἰρήκαμεν
416, a.

πρίασθαι] πριάμενος παρὰ τῆς πόλεως τῶν Ἀργείων 347, a. ἀποδιδό-
ναι δὲ τοῖς πριαμένοις τὰς τιμὰς τὰς ἑκάστοις γιγνομένας ἀκούω. iis
vero, quæ eas *possessiones* emerant, audio sumptus eum resti-
tuisse, quibus unicuique eæ res steterant 423, a.

πρὶν] cum inf. πρὶν τὴν εἰρήνην ἡμᾶς ποιήσασθαι 65, a. πρὶν
ποιήσασθαι τὰς ὁμολογίας ταύτας 130, d. πρὶν περὶ Μεσσήνης ποι-
ήσασθαι συνθήκας οἵας κελεύουσιν ἡμᾶς 133, e. πρὶν τὴν δύναμιν
ταύτην κτήσασθαι 174, a. πρὶν κατασχεῖν τὴν ἀρχὴν 184, d. πρὶν
μὲν λαβεῖν Εὐαγόραν τὴν ἀρχὴν 198, e. πρὶν ἐμὲ διαλεχθῆναι περὶ
αὐτῶν 285, b. πρὶν ποιῆσαί τι τούτων 300, d. πρὶν ἀναγινώσκε-
σθαι τούτους p. 437, 81. πρὶν εὑρεθῆναί τινα παιδείαν τοιαύτην
p. 488, 293. οἷος ἦν πρὶν φυγεῖν περὶ τὸ πλῆθος 349, d. πρὶν εἰς
τὴν ἀρχὴν καταστῆναι 351, d. πρὶν ἀποπειραθῆναι τῆς ὑμετέρας
γνώμης 378, d. πρὶν ἀδικηθῆναί τινα τῶν πολιτῶν 398, a. cum ἂν
et subj. πρὶν ἂν τὰς ὠφελίας ἐκ τῶν αὐτῶν ποιησώμεθα 77, a. πρὶν
ἂν οὕτως ὥσπερ ἡμᾶς διαθῶσιν 300, b. πρὶν ἂν διὰ τέλους ἀκούσητε
καὶ τὰ παρ' ἡμῶν 313, d. cum indic. πρὶν τὴν πόλιν ἀνάστατον
ἐποίησαν 79, a. πρὶν ἐθέλησαν Λακεδαιμόνιοι 173, a. πρὶν τὴν πόλιν
τοῦ τολμήσαντος ἐξαμαρτεῖν ἐξηνδραποδίζετο 249, d. πρὶν κύριον
ἐποιήσαντο τὸν κοινὸν ἐχθρὸν 266, a. πρὶν ἁπάσας ταύτας ὑφ' αὑτοῖς
ἐποιήσαντο πλὴν τῆς Ἀργείων πόλεως 286, d. πρὶν αὐτὸν ἀπετέλεσα
μετὰ πολλῆς ἀληθείας εἰρημένον 312, c. πρὶν τὸν πατέρα ἐκ τοῦ
στρατοπέδου μετεπέμψαντο 248, b. cum opt. πρὶν κύριοι γένοιντο
τῶν σωμάτων 201, d. πρὶν ἐκποδὼν ἐκεῖνος αὐτοῖς γένοιτο 347, c.
πρὶν [ἢ] περὶ τῶν ἀμφισβητουμένων (circa quæ controversamur)
ἡμᾶς ἐδίδαξαν 44, c.

πρὸ] πρὸ τοῦ antea. ὥστε πρὸ τοῦ διὰ τὴν παροῦσαν εὐδαιμονίαν·
καὶ ταῖς μικραῖς ἀτυχίαις πολλοὺς ἕκαστος ἡμῶν εἶχε τοὺς συμπαθή-
σοντας 64, a. πρὸ πολλοῦ δ' ἂν ἐποιησάμην. *I should have valued*
higher than much, i. e. *I should have set a great value upon*
the thing 110, b. πρὸ μοίρας τελευτήσας. ante diem qui mortuus
est 390, c.

προάγειν adducere. τὴν μὲν οὖν ἡμετέραν πόλιν ῥᾴδιον ἐπὶ ταῦτα
προαγαγεῖν 44, b. βουλόμενοι προαγαγέσθαι τοὺς Ἕλληνας ἐπὶ τὸ
διαναυμαχεῖν. cupientes allicere Græcos ad prœlia navalia ten-
tanda 59, c. τὰς συγγενείας εἰς ἔχθραν προάγειν. necessitudines in
inimicitias inducere 77, a. τὴν πόλιν εἰς τὴν αὐτὴν δόξαν προή-
γαγεν ἐξ ἧσπερ ἐξέπεσεν 95, a. ὅσον ἐστὶ τὸ πάντας ἡμᾶς ἐκ τοσού-
των πολέμων ἐπὶ τὴν ὁμόνοιαν προαγαγεῖν 111, a. ἐπὶ τοιαύτην ἀκο-
λασίαν ἡ δύναμις ἡμᾶς αὕτη προήγαγεν 174, c. εἰς τοσαύτην ἄνοιαν
προήγαγον τὴν πόλιν 183, e. εἰς τοῦτο προηγάγομεν 246, e. αὐτοὺς
δ' ἂν αὑτῶν προαγάγοι. verum ut ipsi sibi præcellant, id quidem
fecerit 294, b. εἰς τοῦτ' ἤδη τινὲς ὀργῆς προήχθησαν 397, a. μισῆσαι

τοὺς προαγαγόντας τὴν πόλιν ἐπὶ τὴν ὀργὴν τὴν πρὸς ἐκεῖνον p. 454,
147. ἀμφότεροι δύνανται προαγαγεῖν p. 466, 198.

προαγορεύειν] τοῖς ἄλλοις βαρβάροις εἴργεσθαι τῶν ἱερῶν προαγο-
ρεύουσιν. alii barbari a sacris ut arceantur, prædicant 73, d.
τί δεῖ τὰ συμβησόμενα λίαν ἀκριβῶς † προαγορεύειν 74, e. πέμψας
προηγόρευε τοῖς ἄρχουσιν p. 450, 131.

προαιρεῖσθαι præeligere. καὶ προειλόμην τῶν ἡδονῶν οὐ τὰς ἐπὶ—
36, a. τίς δ' οὐκ ἄν σοι ταύτας περαινέσειε μάλιστα προαιρεῖσθαι
τῶν πράξεων 96, c. τούτους ἐπιβουλεύων ὑπὲρ ὧν ὁ πρόγονος αὐτοῦ
προείλετο κινδυνεύειν 97, d. χρὴ τοὺς εὖ φρονοῦντας τὸ πολλάκις
ὠφελοῦν φαίνεσθαι προαιρουμένους. est autem cordatorum homi-
num, quod frequentius prodest, id amplecti 166, b. ἐγὼ τὸ
λυσιτελὲς ἐάσας τὸ δίκαιον † προειλόμην 250, c. κινδυνεύειν ὑπὲρ τῆς
πατρίδος † προαιρούμενοι 272, a. ὀρθῶς δοκιμάζειν † προαιρούμενοι
279, a. ἃς δεῖ * προελέσθαι καὶ μῖξαι πρὸς ἀλλήλας 294, c. ὅθεν
ἂν προέλωνται τὸν βίον πορίζεσθαι 317, e. ἀλλὰ τοῖς μὲν τοὺς νόμους
τιθέναι προαιρουμένοις προὔργου γέγονε τὸ πλῆθος τῶν κειμένων p. 439,
89. ἐμὲ καὶ γραμματέα † προείλετο 392, a. οὐκ ἂν ταύτην ἐξ ἁπα-
σῶν προειλόμην τὴν ὑπόθεσιν 418, e.

προαίρεσις] τὰς τοῦ πατρὸς προαιρέσεις ἀναμνησθείς. patris vitæ
institutum recordatus 2, d. electio. ἡγεῖτο γὰρ πρὸς ἑταιρίαν
πολλῷ κρείττω φύσιν νόμου καὶ τρόπον γένους καὶ προαίρεσιν ἀνάγκης.
existimabat enim ad amicitiam *ineundam* multo præstantiorem
esse et naturam lege, et mores genere, et electionem necessi-
tate 4, a. οὐ περὶ μικρῶν τὴν προαίρεσιν ποιούμενος. non minuta
quædam tractanda suscipiens 235, a. οὐκ ἀπορήσεις τῶν ἐγκω-
μιασομένων τήν τε φρόνησιν τὴν σὴν καὶ τὴν προαίρεσιν ταύτην 421.

προαισθάνεσθαι prius animadvertere. ὥστε καὶ τοὺς ἐπιδόξους
ἁμαρτήσεσθαί τι προῃσθάνοντο. ut etiam prius animadverterent
quinam peccaturi aliquid viderentur 149, b.

προαναβάλλεσθαι] ὥσπερ χορὸς πρὸ τοῦ ἀγῶνος προαναβαλέσθαι.
ut chorus ante certamen tanquam præludium præfari 240, d.

προαναιρεῖν] ἣν μή με προανέλῃ τὸ γῆρας 239, e.

προαπαγορεύειν animum despondere. νῦν δέ με τὸ γῆρας ποιεῖ
προαπαγορεύειν 322, a.

προαπείπειν] εἰ δὲ καὶ προαπεῖπον. si vero prius diem obiissent
76, c. ἀλλ' ἐγὼ μὲν προαπείρηκα. sed ipse quidem *senio* sum con-
fectus 404, a.

προαποδεικνύναι] τούτων γὰρ προαποδειχθέντων 29, b.

προασκεῖν] ἐκεῖνοι γὰρ ἦσαν οἱ προασκήσαντες τοὺς ἐπιγιγνομένους.
illi enim erant, qui posteros exercebant 56, a.

προάστειον] τῶν προαστείων τῶν οἰκείων οὐ κρατοῦντες 176, a. τὰ
προάστεια ἐνεπρήσατε 349, c.

προβάλλεσθαι πρὸ ἁπάντων ἡμῶν. quasi vallum ante nos omnes
objicere 107, b. προβαλλομένου δ' ἐμοῦ μάρτυρα 373, c.

προβολὰς ἐν τῷ δήμῳ apud populum accusationes ἐποίησαν 344, b.

προγίγνεσθαι] μόνοι γὰρ οὗτοι τῶν προγεγενημένων ὑπὲρ τοῦ βίου τοῦ

τῶν ἀνθρώπων ἀθληταὶ κατέστησαν. nam hi soli ex omni memoria, pro defensione humani generis, pugilum instar, semper velut in procinctu steterunt 212, d.

προγιγνώσκειν] τὰ μέλλοντα προγιγνώσκειν οὐ τῆς ἡμετέρας φύσεώς ἐστιν. facultas futura prænoscendi nostræ naturæ non competit 291, b.

πρόγονος] τὰ πρὸς τοὺς θεοὺς ποίει ὡς οἱ πρόγονοι κατέδειξαν 18, c. δι' ἃς (spes scil.) κατέφυγον ἐπὶ τοὺς προγόνους ἡμῶν 52, c. ἣν ἀνενέγκῃς αὐτῶν τὰς πράξεις ἐπὶ τοὺς σοὺς προγόνους. si res gestas illorum ad tuos majores retuleris 88, d. μεγάλην τὴν δόξαν ἔχειν καὶ πρέπουσαν σοὶ καὶ τοῖς προγόνοις 98, a. ἣν ἡμῖν οἱ † πρόγονοι κατέλιπον 117, e. ἣν (famam scil.) ἡμῖν οἱ πρόγονοι μετὰ πολλῶν κινδύνων ἐν ἑπτακοσίοις ἔτεσι κτησάμενοι κατέλιπον 118, c. εἴτε καταγνοίημεν τῶν προγόνων ὡς ἀδίκως Μεσσηνίους ἀφείλοντο τὴν χώραν 130, d. ἀναμνήσθητε δὲ τῶν † προγόνων τῶν πρὸς τοὺς Ἀρκάδας ἠγωνισμένων 136, c. λέγειν τολμῶντες ὡς χρὴ τοὺς προγόνους μιμεῖσθαι 166, d. μεθ' ἧς (δημοκρατίας) οἱ πρόγονοι ζῶντες εὐδαιμονέστατοι τῶν Ἑλλήνων ἦσαν 172, b. ἐπιδείξω τοὺς προγόνους ἡμῶν ἐν τοῖς πολέμοις καὶ ταῖς μάχαις πλέον διενεγκόντας Σπαρτιατῶν ἢ τοῖς ἄλλοις ἅπασιν 269, d.

πρόδηλος] ἐπεὶ κἀκεῖνό μοι πρόδηλον ἦν 23, b. καὶ τοῦ μὲν ὄντος προδήλου, τοῦ δὲ ἀγνοουμένου. et hoc quidem (bono) evidente, illo autem obscuro 123, b. προδήλου τῆς συμφορᾶς οὔσης ὅμως αὐτῷ συνηκολούθησε 212, a. οὕτω πρόδηλος ἦν ἅπασιν ἐσομένη περιμάχητος. adeo tamen nemo erat qui in dubium vocaret quin armis de ea (Helena) dimicandum foret 216, a.

προδιαιρεῖσθαι] ἃς δεῖ † προδιελέσθαι καὶ μίξαι πρὸς ἀλλήλας 294, c.

προδιαλέγειν] βούλομαι οὖν προδιαλεχθῆναι περὶ ἐμαυτοῦ 233, e. μικρὰ πάνυ * προδιαλεχθεὶς 274, c.

προδιαφθείρειν] οἳ μεγάλων στρατοπέδων ἡγεμόνες γενόμενοι διὰ τὸ προδιαφθαρῆναι πολλὰς μυριάδας αὐτοῖς συναπώλεσαν. qui, quum maximorum exercituum duces essent, quia ipsi immature perierunt, una secum innumeros in exitium traxerunt 408, c.

προδιδόναι prodere. οὐδ' ὀργισθέντες τοῖς Ἕλλησιν, ὅτι προὐδόθησαν. neque Græcis irati quod *ab illis* essent proditi 60, b. αἰσχύνομαι γὰρ εἴ τισι δόξω δεδιὼς ὑπὲρ γήρως καὶ μικροῦ βίου προδιδόναι τὴν ἀλήθειαν p. 487, 292. ἐκεῖνοι δ' ἐν τῷ πολέμῳ προδοθέντες εἰκότως ἂν παρ' ἡμῶν τὴν μεγίστην δίκην ἐλάμβανον 299, c.

προδοσία] τοσαύτας πόλεις ἑλόντα περὶ προδοσίας ἔκρινε p. 451, 137.

προδότης] τῆς τύχης εἶναι προδότας 12, d. † προδόται φανῶμεν τοῦ παρὰ πᾶσιν ἀνθρώποις εὐδοκιμεῖν 138, b. τὸ παλαιὸν ἁπάσης τῆς Ἑλλάδος προδόται καταστάντες 302, b. ἧς (famæ) οὐκ ἄξιον προδότας γενέσθαι 307, a. ὥστ' οὐκ ἄξιον προδότας ταύτης τῆς δόξης γεγενῆσθαι 377, c.

προδυστυχεῖν] οἰκῶν δὲ νῆσον κατὰ θάλατταν προδεδυστύχηκεν 69, e. * προδυστυχήσασαι πάλιν αὐτὰς ἀνέλαβον 137, c.

προειδέναι] προειδὼς τὸ συμβησόμενον 194, d. ὃν οὐ * προῄδειν ἐσόμενον 259, a.

προειπεῖν] ἃ μὲν οὖν ἐβουλόμην σοι προειρῆσθαι, ταῦτ' ἐστὶν 88, b. ἥ περ ἦν προσήκουσα καὶ πρέπουσα τοῖς * προειρημένοις 104, d. προειπόντος Λυσάνδρου (cum Lysander edicto decrevisset) θάνατον τὴν ζημίαν 382, d.

προεξαμαρτάνειν] ἐκεῖνοι μὲν οὖν προεξαμαρτόντες ἅπαντα ταῦτ' ἐπηνωρθώσαντο 75, b. προεξαμαρτόντες δὲ τοῦτ' εἰς ὑμᾶς αὐτούς. et cum prius in vosmet ipsos hac re deliqueritis 123, d.

προεπιδεικνύναι] ἀλλ' εἰ * προεπιδείξαιμι τὴν πολιτείαν τὴν παροῦσαν ὡς ἄξιόν ἐστιν ἀγαπᾶν 29, a.

προέρχεσθαι] ἐνταῦθα προεληλύθαμεν p. 439, 88. εἰς τοὔμπροσθε πειραθῆναι * προελθεῖν 415, c.

προέχειν] ὅσονπερ ταῖς τιμαῖς τῶν ἄλλων προέχεις 17, a. εἴ τις ἐκλέξειε τῶν προεχόντων ποιητῶν τὰς καλουμένας γνώμας 23, c. ἀλλ' οὖν ταῖς γ' ἐμπειρίαις πολὺ τῶν ἄλλων προέχουσιν 30, c. * προέχειν τῶν ἄλλων 35, d. πειρᾶσθε χρηστοὺς ὑμᾶς αὐτοὺς παρέχοντες ἐξισοῦσθαι τοῖς προέχουσι. conamini vosmet probos præstando, æquales fieri præcellentibus 39, b. καὶ θείην ἂν ἐμαυτὸν οὐκ ἐν τοῖς ἀπολελειμμένοις ἀλλ' ἐν τοῖς προέχουσι τῶν ἄλλων 98, d. ἐπιδεῖξαι βουλόμενος τὰς δημοκρατίας καλῶς πολιτευομένας προεχούσας τῷ δικαιοτέρας εἶναι καὶ κοινοτέρας καὶ τοῖς χρωμένοις ἡδίους. ostendere volens eas democratias quæ bene administrantur, hoc ipso excellere, quod et justiores sint, et humaniores et civibus jucundiores 154, b. ἣν γὰρ δόξῃ τῶν πόλεων ταῖς προεχούσαις ἀπέχεσθαι τῶν ἀδικημάτων 186, d. πολὺ κρεῖττόν ἐστι μικρὸν προέχειν ἐν τοῖς μεγάλοις μᾶλλον ἢ πολὺ διαφέρειν ἐν τοῖς μικροῖς. longe præstabilius est aliis paulo superior esse in magnis quam in parvis multum excellere 209, b. τοῖς χρήμασι προέχοντες 219, a. κρείττους φαίνεσθαι τῶν καὶ ταῖς ἡλικίαις καὶ ταῖς ἐμπειρίαις * προεχόντων p. 470, 214. καὶ γὰρ αὐτοὶ προέχετε καὶ διαφέρετε τῶν ἄλλων οὐ ταῖς περὶ τὸν πόλεμον ἐπιμελείαις, ἀλλὰ— p. 492, 313. ἐὰν τὰς † προεχούσας πόλεις πείσῃς οὕτω φρονεῖν 411.

προθυμεῖσθαι] ὑπερβολὰς προθυμηθεὶς εἰπεῖν. hyperbolas instituens dicere 58, d. φανήσομαι γὰρ οὐκ ἐκ παντὸς τρόπου μεγάλα λέγειν προθυμούμενος 196, c.

πρόθυμος] πρὸς τὰς παρ' ὑμῶν ἐλπίδας οὐ † προθυμότερος ἦν 415, a.

προθύμως] Χίων προθυμότατα πάντων τῶν συμμάχων τῷ ναυτικῷ συγκινδυνευσάντων 179, a.

προϊδεῖν] οὐδὲ † προϊδεῖν ἐσόμενον 259, a.

προΐεσθαι deserere. προέμενοί τινας τῶν συμμάχων 75, b. εἰ † προήσομαι τὴν πόλιν ἀναξίως προφεισαμένην ἑαυτῆς 116, b. remittere. εἰ δὲ φοβηθέντες τοὺς ἐπιόντας κινδύνους προησόμεθά τι τῶν ἡμετέρων [αὐτῶν] 118, a. μηδὲν προέσθαι τῶν ἡμετέρων αὐτῶν. nihil nostri ipsorum amittere 123, c. profundere. ἣν παύσωνται προϊέμενοι 146, c. amittere a manibus. μέρος τι κομίζεσθαι τῶν προεθέντων 197, b.

προΐξ] μετὰ προικὸς πλείστης ἐκδιδοὺς τὴν θυγατέρα 353, a.

προϊστάναι] πρὶν ἂν τοὺς προεστῶτας αὐτῶν διαλλάξῃ. priusquam

eorum principes reconciliarit 44, a. προεστάναι τῶν Ἑλλήνων ἀξιοῦντες 52, c. μέλλω γάρ σοι συμβουλεύειν προστῆναι τῆς τε τῶν Ἑλλήνων ὁμονοίας καὶ τῆς ἐπὶ τοὺς βαρβάρους στρατείας 85, c. προστῆναι τοῦ πολέμου τοῦ πρὸς ἐκεῖνον 108, a. αὐτοὶ δ' οὐκ οἰόμεθα τὴν αὐτὴν λήψεσθαι δόξαν τοῖς προεστῶσιν ἡμῶν 170, b. ἐκεῖνοι δ' οὕτω καλῶς προύστησαν τῶν πραγμάτων 181, a. καλόν ἐστιν ἐν ταῖς τῶν ἄλλων ἀδικίαις καὶ μανίαις πρώτους εὖ φρονήσαντας προστῆναι τῆς τῶν Ἑλλήνων ἐλευθερίας 187, b. ὅσοι δὲ τῶν θείων πραγμάτων οὕτω προέστησαν 226, b. ἐγὼ δὲ φημὶ τὰς τούτων πόλεις ὁμοίως οἰκήσεσθαι ταῖς τῶν προεστώτων πονηρίαις 260, b. εἰδότες καὶ τοὺς ξένους τοὺς ἀφικνουμένους καὶ τοὺς προεστῶτας τῆς παιδείας οὐδὲν κακὸν ἐπιτηδεύοντας p. 476, 242. ὀρθῶς καὶ πρεπόντως προεστὼς τῆς ἡλικίας p. 491, 309. ἐὰν τὰς * προεστώσας πόλεις πείσῃς οὕτω φρονεῖν 411. οὐ μὴν ἁρμόττειν οὔτε τοῖς τοῦ πλήθους προεστῶσιν οὔτε τοῖς τὰς μοναρχίας ἔχουσιν 417, a. πῶς χρὴ τὸν ἐπίλοιπον χρόνον ὑμῶν αὐτῶν προστῆναι 419, e.

προκαλεῖσθαι] * προκαλεσάμενος Κλέαρχον καὶ τοὺς ἄλλους ἡγεμόνας εἰς λόγον ἐλθεῖν 100, c.

* προκαλινδεῖσθαι provolvi, videlicet pedibus seu ad pedes 72, c.

προκαταλαμβάνεσθαι præoccupare. λέγειν περὶ πραγμάτων πάλαι προκατειλημμένων 55, d. ἐπειδὰν αἴσθωνται τοὺς τόπους ἅπαντας προκατειλημμένους 255, d.

προκεῖσθαι] οὐδὲν ἂν περὶ πλείονος ποιησαίμην ἢ δυνηθῆναι περὶ τῶν προκειμένων ὡς βούλομαι διελθεῖν. nihil mihi perinde in votis est quam ut de propositis rebus ex animi mei sententia verba facere possim 119, a. δυοῖν δὲ † προκειμένοιν ἀγαθοῖν 123, b.

προκινδυνεύειν] εἰς κινδύνους καθιστάναι τὴν πόλιν τὴν ὑπὲρ τῶν παίδων τῶν Ἡρακλέους προκινδυνεύσασαν (quæ pro liberis Herculis pericula subiit) 53, b. τοῖς σώμασιν ὑπὲρ τῆς Ἑλλάδος προκινδυνεύσαντες 56, a. περιεῖδε τὸ ναυτικὸν τὸ * προκινδυνεῦον ὑπὲρ τῆς Ἀσίας πολιορκούμενον. navales copias pro Asia periclitantes passus est obsideri 70, b. πολλάκις μὲν ἰδίᾳ προκινδυνεύσαντες 61, c.

πρόκλησις] καίτοι τίς ἂν πρόκλησις (provocatio) γένοιτο ταύτης ἀνεπιφθονωτέρα p. 443, 107. 445, 113.

προκρίνειν] κἀκεῖνοι ταύτην τὴν κατάστασιν προκρίνουσιν. hunc statum cæteris anteferunt 32, a. existimare. ἅμα δὲ προκρίνας τούτους καλλίστους εἶναι τῶν λόγων 42, a. anteponere. παρακαλῶν ἐπὶ τοιαύτας πράξεις, ἃς ἐπὶ τῶν ἔργων οἱ πρόγονοί σου φαίνονται κάλλιστα προκρίναντες. ad res ejusmodi hortans, quales ex factis majores tui declararunt se pulcherrime *vel summa cum laude* cæteris anteposuisse 105, b. ἀλλὰ τοὺς βελτίστους καὶ τοὺς ἱκανωτάτους ἐφ' ἕκαστον τῶν ἔργων προκρίνοντες. sed meliores quosque maximeque idoneos rerum singulis *ut præessent* judicio adhibito destinantes 144, b. (bis.) εἰ τὴν αὐτῶν φύσιν ἱκανωτέραν εἶναι νομίζουσι τῆς ὑπὸ τῶν θεῶν προκριθείσης. si sua ingenia illi antecellere putent cui primas deæ detulerunt 217, a. ἐξ ἁπασῶν προκρίνας (ratus) τὴν ἐκεῖ πολὺ διαφέρειν οἴκησιν 223, d. περὶ μὲν τὰς

ἄλλας πράξεις πολὺ σπουδαιοτέραν ἐκείνην προκρίναντες. in aliis quidem rebus illam formam reipublicæ longe præclariorem judicantes 256, b. προκριθέντες ὑπὸ τῶν φυλετῶν καὶ δημοτῶν 263, a. οὐδεὶς γὰρ ὅστις οὐ τῶν μὲν ἐπιτηδευμάτων προκρινεῖ τὴν εὐσέβειαν τὴν περὶ τοὺς θεοὺς καὶ τὴν δικαιοσύνην τὴν περὶ τοὺς ἀνθρώπους 275, d. οὐκ ἂν Πλαταιεῖς ἐξ ἁπάντων τῶν Ἑλλήνων προὐκρίθησαν δικαίως 299, a. προκρίναιεν μὲν ἂν τὴν ψυχὴν σπουδαιοτέραν εἶναι τοῦ σώματος p. 481, 267. ἡγοῦμαι οὐκ ἂν ἄλλους ἀνθ' ἡμῶν προκριθῆναι p. 617, 20.

† προκυλινδεῖσθαι 72, c.

προλαμβάνειν] διὰ τοῦτο δὲ προλήψομαι πορρωτέρωθεν. altius autem propterea rem repetam 119, a. μικρὸν προλαβών. re paulo altius repetita 351, c. τοσοῦτον προλαβὼν πρὸς τὸ πλείω κτήσασθαι τῶν ἄλλων p. 458, 167.

προνοεῖσθαι] τοῦ συμφέροντος † προνοούμενοι 79, c.

πρόνοια] ὃ τῶν ἀνθρωπίνων πραγμάτων μέγιστόν ἐστι καὶ πλείστης προνοίας δεόμενον 16, a. ὧν εἰκὸς ἦν αὐτοὺς μᾶλλον ποιήσασθαι πρόνοιαν. quorum potius eos decuisset rationem habuisse 41, b. ὧν ἡμεῖς οὐδεμίαν ποιούμεθα πρόνοιαν. quorum nullam nos curam habemus 68, d. ἧς δίκαιον τοσαύτην σε ποιεῖσθαι πρόνοιαν ὅσην περ τῶν γονέων τῶν σαυτοῦ. cujus æquum est te non minus rationem habere quam tuorum parentum 88, d. περὶ ἧς οὐδεὶς ἄλλος φανήσεται τοιαύτην πρόνοιαν πεποιημένος 96, a. ὧν οὐδεμίαν ποιούμεθα πρόνοιαν 107, a. τοσαύτην ἐποιοῦντο πρόνοιαν ἀλλήλων 145, e. τῶν μὲν συμβήσεσθαι διὰ ταῦτα μελλόντων οὐδεμίαν ποιούμενοι πρόνοιαν 175, d. ἡγούμεθα μάλισθ' ὑμῖν προσήκειν περὶ τῆς ἡμετέρας πόλεως ποιήσασθαι πρόνοιαν 297, a. ἐκεῖνος μὲν τοσαύτην πρόνοιαν ἔσχεν ὑπὲρ τοῦ μηδὲ φυγὼν μηδὲν ἐξαμαρτεῖν εἰς τὴν πόλιν 348, c. 308, b.

πρόξενος] Πίνδαρον τὸν ποιητὴν οὕτως ἐτίμησαν ὥστε καὶ πρόξενον ποιήσασθαι p. 461, 177.

προοίμιον procemium. τοὺς μὲν γὰρ ἄλλους ἐν τοῖς προοιμίοις ὁρῶ καταπραΰνοντας τοὺς ἀκροατὰς 43, c. αἰσθάνομαι δ' ἐμαυτὸν ἔξω φερόμενον τῆς συμμετρίας τῆς συντεταγμένης τοῖς προοιμίοις 239, d. ἐν μὲν οὖν τῷ προοιμίῳ καὶ τοῖς πρώτοις λεγομένοις ἐπιτιμῶ ταῖς μοναρχίαις 343, b.

προορᾶν τὰ συμφέροντα 11, a.

πρόπαππος τοῦ πατρὸς τοὐμοῦ 351, e.

προπαρασκευάζειν] βουλόμενος ὑμῶν † προπαρασκευάσαι τὰς γνώμας 133, e.

προπέμπεσθαι deducor. διεπορεύθησαν ὡσπερανεὶ προπεμπόμενοι. perrexerunt ac si in viam deducerentur 71, d. πανδημεὶ προπεμπόμενοι ἐπὶ θάνατον ἄνομον καὶ προὖπτον. toto populo comitante ad necem iniquam et manifestam delati 213, c. εὐθὺς ἐξ εὐνῆς † προπέμπουσι τοὺς παῖδας 277, a.

προπέτεια temeritas. διὰ τὴν Κύρου προπέτειαν ἀτυχεῖν 100, c.

προπετὴς petulans. μὴ γέλωτα προπετῆ στέργε 5, a.

προπετῶς ἀποφαίνεσθαι περὶ ὧν οὐκ ἴσασιν 290, a. ὧν χρὴ μεμνημένους μὴ προπετῶς πιστεύειν τοῖς τῶν κατηγόρων λόγοις 314, b.

προπετέστερον κινδυνεύων ἢ βασιλικώτερον. magis temerarie pericula adeuns quam regem decet 407, b.

πρόπλοος, ους] οἱ δ' ἡμέτεροι τὰς μὲν πρόπλους ἐνίκησαν. nostri vero primas quidem naves vicerunt 59, d.

προπολεμεῖν propugnare. ἡ Βοιωτία προπολεμεῖ τῆς ὑμετέρας χώρας 302, e.

πρόπομποι anteambulones. πρόπομποι καὶ ῥαβδοῦχοι καὶ κήρυκες φιλοσοφίας εἰσὶν ἀχλὺς p. 618, 1.

πρὸς cum gen. *ex parte.* πρὸς πατρὸς καὶ πρὸς μητρὸς 35, c. 216, d. 351, c. e. πρὸς δὲ μητρὸς ἀπὸ Διὸς ὢν 228, b. *decet.* ἀλλὰ τήν γε χώραν οὐ πρὸς ὑμῶν ἐστὶν ἀνέχεσθαι πεπορθημένην 307, e. cum dat. *præter.* πρὸς τοῖς εἰρημένοις 23, e. 30, c. πρὸς ταῖς κοιναῖς συμφοραῖς 66, c. πρὸς τοῖς πρότερον ὑπάρχουσι. præter priora facinora 178, e. *ad.* πρὸς αὐτοῖς τοῖς βασιλείοις. ad ipsam regiam 72, c. πρὸς cum acc. ἡγεῖτο γὰρ πρὸς ἑταιρίαν πολλῷ κρείττω φύσιν νόμου. existimabat enim ad amicitiam *ineundam* multo præstantiorem esse naturam lege 4, a. *quod ad.* ἔστι δὲ τὸ μὲν πείθειν πρὸς τοὺς Ἕλληνας συμφέρον, τὸ δὲ βιάζεσθαι πρὸς τοὺς Βαρβάρους χρήσιμον. quod ad Græcos, persuadere prodest, quod ad Barbaros, cogere utile est 85, c. εἰ τὰ † πρὸς τὸν βίον εὐπορώτεροι γιγνοίμεθα 162, e. πρὸς τὸ δοκεῖν ἄξιοί τινος εἶναι 234, e. καθ' ἑκάστην τὴν ἡμέραν * πρὸς εὐπορίαν ἐπιδώσομεν 163, b. πολλοὶ τῶν πολιτῶν πρὸς αὐτὸν δυσκόλως εἶχον ὡς * πρὸς τυραννεῖν ἐπιβουλεύοντα 354, d. *ad.* πρὸς ὃ δεῖ ζῆν σε ὥσπερ πρὸς παράδειγμα 4, b. οὐδὲ πρὸς ἀργύριον τὴν εὐδαιμονίαν ἔκρινον. nec pecunia felicitatem metiebantur 56, b. *apud* vel *coram.* οὐ γὰρ ἵνα πρὸς τοὺς ἄλλους διαβάλω τὴν πόλιν τὴν Λακεδαιμονίων οὕτως εἴρηκα περὶ αὐτῶν 67, c. ἀναμνήσθητε δὲ πρὸς ὑμᾶς αὐτοὺς 126, e. οἵτινες ἂν αὐτοὶ πρὸς αὐτοὺς ἄριστα περὶ τῶν πραγμάτων διαλεχθῶσιν 28, b. οὐ διαβάλλειν † πρὸς ἑτέρους ἐπιθυμῶν 173, c. *contra.* πρὸς μίαν μὲν πόλιν κινδυνεύειν 54, d. *cum.* ἐμοὶ δ' οὐδὲν πρὸς τοὺς τοιούτους ἐστί. mihi vero cum talibus nihil rei est 43, b. ὥσπερ πρὸς τὸν Δία τὴν χώραν νεμόμενος. quasi cum Jove regionem partiretur 78, c. οὓς (ὅρκους scil.) ἐποιήσασθε πρὸς τοὺς προγόνους τοὺς ἡμετέρους 120, b. ἡγούμην εἰς τὰς μεγίστας διαβολὰς ἐμαυτὸν καὶ τὸν πατέρα καταστήσειν πρὸς Σάτυρον 359, c. πρὸς τοὺς ἁπάσης τῆς Ἑλλάδος καταφρονήσαντας ἀπήντων. occurrerunt totius Græciæ contemptoribus 58, b. 59, a. ἐκ τῶν πρὸς Εὐρυσθέα κινδύνων e periculis quæ ab Eurystheo imminebant τοὺς οἰκιστὰς διασώσαντες 53, e. οὐ πρέπει σοι πρὸς τὴν παροῦσαν ἡλικίαν. in præsenti tua ætate 11, d. πρὸς χάριν ὁμιλοῦσι 15, c. † πρὸς ὑπερβολὴν προσεγένετο 193, c. σιωπὴν ποιησάμενος καὶ * πρὸς ἐμὲ βλέψας 281, d. *comparatione facta.* τοὺς λόγους πρὸς ὑπερβολὴν πεπονημένους πρὸς τοὺς ἀγῶνας τοὺς περὶ τῶν ἰδίων συμβολαίων σκοπεῖν. orationes ad summum elaboratas, *facta* cum privatorum contractuum litibus *comparatione* contemplari 43, a. abundat. προσέβαλε πρὸς τὸ βασίλειον 194, d.

προσάγειν] τοὺς μὲν ταῖς ἄλλαις θεραπείαις προσάγεσθαι. alios

aliis officiorum meritis ad suas partes allicere 31, b. τὴν μὲν οὖν ἡμετέραν πόλιν ῥᾴδιον ἐπὶ ταῦτα † προσαγαγεῖν 44, c. † προσαγαγέσθαι τοὺς Ἕλληνας ἐπὶ τὸ διαναυμαχεῖν 59, c. τὰς μὲν ταῖς εὐεργεσίαις πρὸς τὴν αὐτοῦ συμμαχίαν προσῆκται 86, c. ἢν μὴ προσαγάγωνται (alliciant) καὶ στέργειν σφᾶς αὐτοὺς ἀναγκάσωσι 217, b. διὰ τὴν δόξαν ταύτην προσαγόμενοι (pellicientes) τοὺς Ἕλληνας 304, b. e.

προσαγορεύειν appellare. οὐ βασιλέα τὸν μέγαν αὐτὸν προσαγορεύομεν 66, a. ἀλλὰ καὶ τῶν θεῶν τοὺς μὲν τῶν ἀγαθῶν αἰτίους ἡμῖν ὄντας Ὀλυμπίους (ὁρῶ) προσαγορευομένους. verum etiam inter Deos, eos qui nobis bonorum autores sunt appellari Olympios video 106, a. 109, a.

προσαιτεῖν] προσαιτῶν τοὺς ἐντυγχάνοντας. ab obviis quibuscunque mendicans 156, e.

προσάντης arduus. πρόσαντές ἐστιν ἐναντιοῦσθαι ταῖς ὑμετέραις διανοίαις 161, d.

προσαπολεμεῖν] εἰ γὰρ ἡμῶν ὁμονοησάντων αὐτὸς ἐν ταραχαῖς ὢν χαλεπὸς ἔσται προσαπολεμεῖν 69, a.

προσαπολλύναι] ὅταν ἐργαζόμενοι τὴν χώραν τὰ σπέρματα προσαπολλύωσιν 132, c. ὃς ἀδίκως εἰς τὴν πόλιν εἰσελθὼν καὶ τὸν δικαίως ὑπάρξαντα διὰ ταχέων ἤμελλε προσαπολεῖν. quæ opes urbem injuste ingressæ, etiam eas quæ jure tenebantur, parvo temporis spatio secum una eversuræ erant 175, d.

προσάπτειν] τηλικαύτην αὐτῷ τὸ μέγεθος παρανομίαν προσῆψας 222, c.

προσβάλλειν] προσέβαλε πρὸς τὸ βασίλειον. in regiam impetum fecit 194, d. τοῖς τείχεσι προσεβάλετε. muros oppugnastis 349, c.

προσβολὴ] δυστυχησάντων γὰρ ἡμῶν ἐν τῇ προσβολῇ τῇ πρὸς τὴν πόλιν 392, b.

προσγίγνεσθαι] καὶ πρὸς τούτοις ἀνδρία προσεγένετο καὶ σοφία καὶ δικαιοσύνη 193, c.

προσγράφειν] προσγράψας πάσας τὰς διατριβὰς τὰς περὶ αὐτὸν γεγενημένας. adscriptis omnibus quæ de ea (oratione) habitæ sunt disputationibus 288, a.

προσδεῖσθαι] ὧν οἶμαι καὶ τὰ ῥηθησόμενα προσδεήσεσθαι 85, c. ἡγοῦμαι τὴν ὑπόθεσιν ἣν ἐποιησάμην ἄλλων πολλῶν προσδεῖσθαι λόγων 255, b. τοῖς δὲ γράμμασιν οὐδενὸς τούτων προσεδέησεν 293, e.

προσδέχεσθαι] τῶν ἀλλοτρίων οὐδὲν ἂν προσδεξαίμην. alieni nihil asciscam 101, b.

προσδιαφθείρειν] αὐτοὶ προσδιεφθάρησαν. ipsi una perierant 390, b.

προσδιδόναι] ἀλλὰ καὶ τῆς αὐτῶν προσδώσουσι. verum etiam partem aliquam de sua ipsorum *regione* nobis insuper largientur 163, e.

προσδοκᾶν] καίτοι τίς ἂν προσεδόκησεν 95, a. πῶς οὐ σέ γε χρὴ προσδοκᾶν 95, d. τῶν ἄλλων ἁπάντων ὧν προσδοκᾶτε διαμαρτεῖν 123, d. ὅσην οὐδεὶς πώποτ' ἔσεσθαι προσεδόκησεν 137, c. ὥστε τῶν προαστείων τῶν οἰκείων οὐ κρατοῦντες Ἰταλίας καὶ Σικελίας καὶ Καρχηδόνος ἄρξειν προσεδόκησαν 176, a. οὐχ ὑπὲρ τῶν τῇ πόλει συμ-

φερόντων, ἀλλ' ὑπὲρ ὧν αὐτοὶ λήψεσθαι προσδοκῶσι, δημηγορεῖν τολμῶντες 235, b.

προσδοκία] μεγάλας τὰς προσδοκίας παρέχειν. maximas expectationes *de se* concitare 16, b. διαμαρτὼν δὲ τῆς προσδοκίας. sin votis excideris 95, e. οἱ μὲν γὰρ (qui bellum suadent) προσδοκίαν ἐμποιοῦσιν ὡς καὶ τὰς κτήσεις τὰς ἐν ταῖς πόλεσι κομιοῦμεθα 159, e.

προσεῖναι] οἷς δ' ἡμεῖς συμβεβουλεύκαμεν, οὐδὲν πρόσεστι τούτων. cum iis vero, quæ nos suademus, nihil horum conjunctum est 95, e. περὶ τῶν ἄλλων τῶν τῇ ψύχῃ προσόντων ἀγαθῶν μνείαν ποιεῖσθαι 104, b. ἂν μὴ προσῇ τὸ καλῶς [τῷ] σώζεσθαι 135, a. αἷς ἑστίασίς τις προσείη. quibus epulæ adhibentur 145, c. ταῦθ' ὅτι προσῆν Εὐαγόρᾳ καὶ πλείω τούτων 198, b. μὴ φανῶ μείζω λέγων τῶν ἐκείνῳ προσόντων 198, d. οὐδὲ κριτὴν ἱκανώτερον ἕξομεν ἐπαγαγέσθαι περὶ τῶν Ἑλένῃ προσόντων ἀγαθῶν τῆς Θησέως διανοίας 215, d. ἣν παραλίπω τι τῶν ἐκείνῳ προσόντων ἀγαθῶν 250, b. οὐδ' ἠγνόησαν οὐδὲν οὔτε τῶν ἀγαθῶν οὔτε τῶν κακῶν τῶν προσόντων ἑκατέρᾳ τῶν δυνάμεων 256, c. δεῖ τοὺς μὲν εὐλογεῖν τινὰς βουλομένους πλείω τῶν ὑπαρχόντων αὐτοῖς πρόσοντ' ἀποφαίνειν. oportet eos quidem, qui aliquos laudare volunt, ostendere plura illis adesse bona quam quæ revera sunt 222, b. ἀμελήσαντες τῶν ἄλλων τῶν προσόντων αὐτοῖς ἀγαθῶν 295, c.

προσειπεῖν] τῶν ὀνομάτων τοῖς αὐτοῖς, οἷσπερ τοὺς οἰκειοτάτους, τὴν πόλιν ἔχομεν προσειπεῖν. iisdem nominibus, quibus conjunctissimos, urbem possumus appellare 45, c. ὅσῳ ἂν οἰκειότερον προσείπωσι τὸν τεθνεῶτα 390, c.

προσεκτέος] ᾧ μάλιστα προσεκτέον τὸν νοῦν ἐστὶν 410, b. τοῖς λόγοις τοῖς ἐμοῖς προσεκτέον τὸν νοῦν ἐστὶ 422, e.

προσεμβλέπειν] σιωπὴν ποιησάμενος καὶ † προσεμβλέψας 281, d.

προσεξευρίσκειν insuper excogitare. πολλῶν γὰρ κακῶν τῇ φύσει τῇ τῶν ἀνθρώπων ὑπαρχόντων αὐτοὶ πλείω τῶν ἀναγκαίων προσεξευρήκαμεν 75, e.

προσεοικέναι] θεωρίᾳ μὲν μᾶλλον ἢ στρατείᾳ προσεοικώς. (bellum quidem) spectaculo potius quam expeditioni simile 79, a.

προσεπιβάλλειν insuper addere. τοῖς ποιοῦσι τὸ προσταττόμενον ἀεὶ πλείω * προσεπιβάλλειν οἷς ἂν ἐξ ἀρχῆς διανοηθῶσιν 123, d.

προσεπιδεικνύναι] εἰ † προσεπιδείξαιμι τὴν πολιτείαν τὴν παροῦσαν ὡς ἄξιόν ἐστιν ἀγαπᾶν 29, a.

προσεπιτάττειν] τοῖς ποιοῦσι τὸ προσταττόμενον ἀεὶ πλέον † προσεπιτάττειν ὧν ἂν ἐξ ἀρχῆς διανοηθῶσιν 123, d.

προσέρχεσθαι] εἰς τοὔμπροσθεν πειραθῆναι † προσελθεῖν 415, c.

προσέχειν τὸν νοῦν 17, a. † 35, d. 141, b. 183, d. κρείττους φαίνεσθαι τῶν καὶ ταῖς ἡλικίαις καὶ ταῖς ἐμπειρίαις † προσεχόντων p. 470, 214.

προσζημιοῦν incommodo afficere. αὕτη δὲ μόνη (imperitia vel ignorantia scil.) καὶ προσεζημίωσε τοὺς ἔχοντας 9, b.

προσηγορία] προσῆκον τῆς προσηγορίας ταύτης τυγχάνειν τοὺς ἄριστα πρὸς ἀρετὴν πεφυκότας p. 490, 303.

προσήκειν] ἀπείχοντο δ' ὥσπερ χρὴ τῶν μηδὲν προσηκόντων. *a rebus publicis* vero abstinebant ita ut oportet ab iis quæ ad illos neutiquam pertinerent 56, a. ἥ περ (actio scil.) ἦν προσήκουσα μὲν καὶ πρέπουσα τοῖς προειρημένοις 104, d. προσῆκον ὑμᾶς ὁμοίως ὑπὲρ τῶν κοινῶν ὥσπερ ὑπὲρ τῶν ἰδίων σπουδάζειν 161, b. προσῆκον δ' ἡμᾶς ἅπασιν εἶναι παράδειγμα τοῦ καλῶς καὶ τεταγμένως πολιτεύεσθαι. quum nos universis exemplum præbere conveniat bonæ ordinatæque reipublicæ 169, b. τὸ δὲ γένος ἅπαν ἀπεληλαμένον τῆς πολιτείας εἰς τὰς προσηκούσας τιμὰς πάλιν ἐπανήγαγε 202, c. μηδέν σοι προσήκων. nullo modo necessarius tuus 231, a. 257, c. 394, c. οὐδὲν δ' ἐμοὶ προσήκοντες. sed nequaquam mihi conjuncti 257, c. ὧν αὐτὸς ὀλιγωρήσας οὐδὲν προσήκοντας τῇ γραφῇ λόγους εἴρηκεν p. 441, 98. ὅτ' οὐδὲν αὐτῷ τῆς πόλεως προσῆκεν. quando nulla ipsi cum urbe interesset necessitudo 349, d. εἰ δὲ δόξω μηδὲν * προσῆκον minime justa de causa τοσαῦτα χρήματα ἐγκαλέσαι 358, a. ὁρῶν δ' αὐτοὺς λυπουμένους μᾶλλον τοῦ προσήκοντος 424, c. κἂν μηδὲν προσήκωσι 425, b.

προσηκόντως] ὡς δὲ προσηκόντως (jure) τὴν ἀρχὴν ἡμεῖς ἔχομεν 32, c. ὀρθῶς καὶ προσηκόντως 130, d. προσηκόντως ἐπιτιμᾶν τοῖς γιγνομένοις. non injuria reprehendere ea quæ fiunt 171, d. ἐπήνεκας γὰρ τὰς πόλεις ἀμφοτέρας καλῶς καὶ προσηκόντως 287, d. εἰ δὲ δόξω μηδὲν † προσηκόντως τοσαῦτα χρήματα ἐγκαλεῖσθαι 358, a.

* πρόσθε τῶν ἐπωνύμων ἀνειπεῖν. ante statuas heroum præconiis celebrari 382, d.

πρόσθεν] ἢ μέρος τι κομίσαιντο τῶν † πρόσθεν ὄντων 146, b. † πρόσθεν τῶν ἐπωνύμων ἀνειπεῖν 382, d.

προσιέναι] πρὸς τὰ τῆς πόλεως προσιόντες. ad reipublicæ negotia capessenda accedentes 261, d. κατηγοροῦντες τῶν προσιεμένων καὶ χαιρόντων τοῖς τοιούτοις. reprehendentes istos qui viros hujusmodi admittunt et iis gaudent 159, d. προσιὼν πρὸς τοὺς ἐπιτηδείους ἐνεκάλει καὶ ἐμέμφετο 400, c.

προσκαλεῖσθαι] † προσκαλεσάμενος Κλέαρχον 100, c.

προσκεῖσθαι] ταῦτα μὲν οὖν ἐκείνοις προσκείσθω τοῖς πρότερον περὶ ἡμῶν εἰρημένοις p. 469, 210.

προσκυνεῖν] θνητὸν μὲν ἄνδρα προσκυνοῦντες (adorantes) 72, c.

προσλαμβάνειν adjungere. ἃ μὴ μεμάθηκας, προσλάμβανε ταῖς ἐπιστήμαις 5, d. εἰ τὸ τῆς πόλεως προσλάβοι ναυτικὸν 60, a. τὸ δὲ καὶ προειδὼς, εἰ πρέπον εἰς τὸν λόγον εἴη, προσλάβοιμ' ἂν 419, b.

πρόσοδος reditus. πλείονος ἀξίαν ἔσεσθαί σοι τὴν τῆς πόλεως φιλίαν ἢ τὰς προσόδους τὰς ἐξ Ἀμφιπόλεως γιγνομένας 83, b. ἀκριβέστερον εἰδέναι τὰς ἐκ τῶν ἀρχείων προσόδους 144, d. μικρῶν προσόδων ἀποστερεῖσθαι 146, c. διπλασίας ἢ νῦν τὰς προσόδους λαμβάνουσα 163, c. πρόσοδοι dicuntur supplicationes quibus ad deorum templa et aras itatur 88, e. ἀναθήμασι καὶ θυσίαις καὶ ταῖς ἄλλαις προσόδοις ἱλάσκεσθαι 219, a. τοῖς γὰρ ἱερεῦσι παρεσκεύασεν εὐπορίαν ταῖς ἐκ τῶν ἱερῶν προσόδοις 225, d. concio. περὶ σωτηρίας τὴν πρόσοδον ἐποιησάμην 140, a. c. τὴν πρόσοδον ἀπεγραψάμην 143, a.

προσοικεῖν] ἡττηθεὶς ὑπὸ τῶν Βαρβάρων τῶν προσοικούντων μάχῃ 125, b.

προσομολογεῖν] καὶ τούτων ἁπάντων οὐδεὶς ὅστις οὐκ ἂν Εὐαγόραν αἴτιον εἶναι *προσομολογήσειεν 199, b. εἰ προσομολογήσαιμι πάντων ἀνθρώπων εἶναι δεινότατος 317, c. ἑτέροις προσομολογοῦντα ὀφείλειν 360, a. ὁμολογῶ καὶ τούτῳ προσομολογῆσαι τριακοσίας δραχμάς. non inficias eo me etiam illi præterea confessum esse *debere* trecentas illas drachmas 366, d.

προσπεριβάλλεσθαι] καὶ τείχη προσπεριεβάλετο 198, c.

προσπίπτειν] περὶ τῶν κατὰ τὴν ἡμέραν ἑκάστην προσπιπτόντων quod ad negotia quæ quotidie occurrunt οὐδὲ περὶ ἓν πεπλανημένως εἶχεν 197, c. πρὸς τὰς χρείας τῶν ἀεὶ προσπιπτόντων (occurrentium quæcunque sint) οὐχ ἁρμόττουσα μεγαλοφροσύνη p. 452, 139. ὡς ἂν ἕκαστον τύχῃ προσπεσὸν p. 454, 148. 239, a. 295, a. πανταχόθεν μοι τοσούτων κακῶν † προσπεπτωκότων 360, c. οἷς (λόγοις) χρώμεθα περὶ τὰς πράξεις τὰς προσπιπτούσας καθ' ἑκάστην τὴν ἡμέραν. qua eloquentia utimur in quotidianæ vitæ negotiis 417, b. ἐὰν τὸ προσπίπτον (id quod accidit) ἐπιχειρῆτε πράττειν 420, a.

προσπλεῖν] προσπλεουσῶν δὲ τριήρων διακοσίων καὶ χιλίων 59, e.

προσποιεῖσθαι simulare. ἐὰν μὴ δεόμενός του δεῖσθαι προσποιῇ 7, b. χρὴ τοὺς προσποιουμένους χρημάτων εἶναι κρείττους— oportet eos qui profitentur se majores esse quam quos vincere possit pecunia— 34, a. πολλοὶ τῶν προσποιησαμένων εἶναι σοφιστῶν 42, a. πολλὴν χάριν ἔχοντες τοῖς ὑπὲρ αὐτῶν φοβεῖσθαι καὶ δεδιέναι προσποιουμένοις 97, b. ἢν παύσωνται † προσποιούμενοι 146, c. προσποιούμενοι ἐκείνου (Pythagoræ) μαθηταὶ εἶναι 227, b. φιλεῖν μὲν τὸν δῆμον προσποιούμενοι 262, b. ὀλίγοι δ' ἂν τινὲς τῶν προσποιουμένων εἶναι σοφῶν ἐρωτηθέντες οὐκ ἂν φήσαιεν 257, b. διότι προσποιοῦμαι τὸ βέλτιον αὐτῶν φρονεῖν 411.

προσπολεμεῖν bello petere. εἰ γὰρ ἡμῶν ὁμονοησάντων αὐτὸς ἐν ταχαῖς ὢν χαλεπὸς ἔσται προσαπολεμεῖν 69, a.

προσπταίειν impingere. ἐπειδὴ προσεπταίκαμεν 133, b.

πρόσταγμα edictum. τῶν προσταγμάτων καὶ τῶν ἐπιτηδευμάτων κίνει καὶ μετατίθει τὰ μὴ καλῶς καθεστῶτα 18, a. χαλεπώτατον πάντων τῶν *προσταγμάτων 21, d. νομίζοντες προστάγματα καὶ μὴ συνθήκας εἶναι. existimantes ea esse mandata non pactiones 77, e. 78, a. τὰ προστάγματα τούτων ὑπομένειν 133, c. οἱ μὲν τὸ πλῆθος τῶν προσταγμάτων καὶ τῶν λειτουργιῶν ἀναγκάζονται διεξελθεῖν καὶ θρηνεῖν πρὸς σφᾶς αὐτοὺς 185, a. τῶν κοινῶν προσταγμάτων ἀμελεῖν 225, a.

προστάτης] τῶν γὰρ ῥητόρων τὸν τρόπον ψέγοντες προστάτας αὐτοὺς τῆς πόλεως ποιοῦνται 236, a. ἐποιοῦντο συμβούλους καὶ προστάτας οὐ τοὺς τυχόντας, ἀλλὰ τοὺς βελτίστους 262, c. 264, d. Σόλωνα μὲν γὰρ προστάτην ἠξίωσαν τῆς πόλεως εἶναι 344, b.

προστάττειν] οὐδὲν ἐξὸν αὐτοῖς ἄλλο πράττειν πλὴν τὸ προσταττόμενον 85, b. ὥστε τὸν ἄλλον χρόνον ὑφ' ἡμῖν ὄντες νῦν ἡμῖν προστάττειν ἀξιοῦσιν 125, d. 127, d. πλείω χάριν ἔχοντες τοῖς πολλὰ προστάττουσιν ἢ τοῖς μηδὲν ἐπαγγέλλουσι. majoremque illis gratiam habemus, si multa imperent, quam si nihil faciendum denuncient 217, b. μὴ ποιεῖν τὸ † προσταττόμενον 135, d. ἀεὶ τοῖς αὐτοῖς τὰς αὐτὰς πράξεις μεταχειρίζεσθαι προσέταξεν 224, d. ὁτιοῦν πάσχειν ὑπὲρ τοῦ μὴ ποιεῖν (*in order not to perform*) τὸ προσταττόμενον 152, d. Ὁμήρῳ προσέταξε ποιεῖν περὶ τῶν στρατευσαμένων ἐπὶ Τροίαν 218, e. * προστάξαντες αὐτῷ κατακαῦσαι τὸ γραμματεῖον 362, e.

προστιθέναι] τοῖς μικροῖς μέγεθος † προσθεῖναι 42, c. * μικρῶν ἔτι προστεθέντων 46, c. adjungere se. ὁποτέροις ἐκεῖνοι προσθέσθαι βουληθεῖεν 69, c. ὅπως μηδὲν ἔξω τῶν νομιζομένων προσθήσουσιν. ut nihil ultra statuta adjicerent 145, d. καὶ πολλὰ ἂν ἴσως τις προσθείη τούτοις 164, b. τὸ τέλος ὃ πᾶσι τούτοις † προσέθηκεν 249, d. [ἀεὶ γὰρ οἰόμενος] δεῖν προστιθέναι τὸ τῶν προειρημένων ἐχόμενον (adjicere id quod prius dicta sequitur) 250, c. τιμὴν δέ τινα † προστιθεῖσαι 263, a. προσθεῖναι μὲν οὐδὲν εἶχον τοῖς εἰρημένοις οὐδ' ἀφελεῖν 288, c. κατὰ μικρὸν ἀεὶ προστιθέντες. aliquid paulatim semper adjiciendo 343, d.

προσφασίζεσθαι excusationes facere 43, c.

προσφέρειν] πρὸς γὰρ τοὺς πολίτας μετὰ τοσαύτης πραότητος προσηνέχθην. nam in cives cum tanta mansuetudine me gessi 33, c. τὰ τοίνυν πρὸς τοὺς Βαρβάρους ὡς ἑκάτεροι προσηνέχθημεν. quomodo igitur contra Barbaros utrique nos præbuerimus 244, e. ἵνα προειδὼς ἄμεινον προσφέρῃ p. 455, 152. οὐχ ὡς συμμάχοις ὑμῖν προσηνέχθησαν. erga vos non ut socios se præstiterunt 303, d.

προσφιλής] σπουδάζων ὑπὲρ ἀνδρῶν φίλων καὶ προσφιλεστάτων 416.

πρόσωπον] σεμνὸς ὢν οὐ ταῖς τοῦ προσώπου συναγωγαῖς. gravis quidem (vel majestate plenus) non supercilii contractione 197, e.

προτάττειν] ἐνίους δὲ καὶ τῆς πρώτης φάλαγγος ἡροῦντο † προτάττειν 271, a.

προτείνειν] δυοῖν δὲ * προτεινομένοιν ἀγαθοῖν. propositis autem duobus bonis 123, b. δυοῖν γὰρ πραγμάτοιν προτεινομένοιν μὴ σπουδαίοιν. duæ enim cum res proponerentur, eæque non bonæ 257, a. τὴν αὐτονομίαν προτείνοντες 304, e. φιλοσοφίαν † προτείνω p. 487, 289.

πρότερος] ἢν δ' ἡμεῖς αὐτὰς πρότεροι καταλάβωμεν 75, a. ἐξὸν αὐτοῖς προτέροις διαβᾶσιν εἰς τὴν ἤπειρον 75, b. καὶ μηδεὶς ὑμῶν θαυμάσῃ, διότι φεύγων τὴν δίκην πρότερος λέγω τοῦ διώκοντος 371, a. λέγειν δὲ πρότερον τὸν παραγραψάμενον νόμον ἔθεσθε 371, b.

προτιθέναι proponere. λοιπὸν οὖν ἐστὶν ὧν προεθέμην 32, d. περὶ ὧν οἱ πρυτάνεις προτιθέασιν 162, a.

προτιμᾶν venerari. διὰ παντὸς τοῦ χρόνου τὴν ἀλήθειαν φαίνου προτιμῶν 19, b. præferre. πάντες τὴν μοναρχίαν προτιμῶμεν 32, b. ὁρῶ γὰρ τοὺς μὲν τὴν ἀδικίαν προτιμῶντας 166, a. τοσούτῳ δὲ μᾶλλον προτετίμηται τὸ κάλλος παρὰ τοῖς θεοῖς ἢ παρ' ἡμῖν 218, a.

προτρέπειν] εἴ τις τοὺς κρατοῦντας τοῦ πλήθους ἐπ' ἀρετὴν προτρέψειεν 16, c. παρακαλεῖν καὶ προτρέπειν πρὸς τὸ μνημονεύειν τὰ ῥηθέντα

29, a. προτρέπετε τοὺς νεωτέρους ἐπ' ἀρετὴν 38, d. πειρασόμενός σε προτρέπειν ἐπὶ πράξεις οἰκειοτέρας 85, e. ἢν ἀνενέγκῃς αὐτῶν τὰς πράξεις ἐπὶ τοὺς σοὺς προγόνους. si res gestas illorum ad tuos majores retuleris 88, d. βουλόμενος ὑμῶν * προτρέψασθαι τὰς γνώμας 133, e. ἐκεῖνοι γὰρ ἦσαν οἱ προτρέψαντες ἐπὶ ταύτας τὰς ὀλιγωρίας 150, a. τοὺς μὲν γὰρ ἄλλους προτρέπομεν ἐπὶ τὴν φιλοσοφίαν ἑτέρους ἐπαινοῦντες 206, d. προτρέπειν ἐπ' ἀρετὴν καὶ τοὺς ὑπὲρ τῆς πόλεως κινδύνους 332, c.

προτρεπτικὸς exhortatorius. ὅσοι μὲν οὖν τοὺς προτρεπτικοὺς λόγους συγγράφουσι. quotquot igitur orationes exhortatorias scribunt 1, c.

προτρέχειν] πολλοῖς γὰρ ἡ γλῶττα προτρέχει τῆς διανοίας 11, a.

προϋπάρχειν τῶν εὐεργεσιῶν. beneficia priores conferre 89, c. ὥστ' ἐκεῖνοι μὲν οὐκ ὤκνησαν οὐδὲ προϋπάρξαι τῆς ἔχθρας τῆς πρὸς τοὺς Ἕλληνας. adeo ut illi quidem non dubitarint etiam primi inimicitias exercere contra Græcos 107, d. οἱ δὲ κομιεῖσθαι προσδοκῶντες ὧν ἂν προϋπάρξωσιν. alii vero sperantes se *fructum* reportaturos *ex iis beneficiis* quæ *in nos* primi contulerint 131, c.

προῦπτος manifestus. ἐπὶ θάνατον ἄνομον καὶ προῦπτον προπεμπόμενοι 213, c.

προὔργου dicitur quod πρὸ ἔργου, i. e. quod operæ pretium est et prævertendum. ἵνα προὔργου τι γένηται. ut aliquid commodi oriatur 44, d. καὶ τῷ μὲν οὐδὲν προὐργιαίτερόν ἐστιν. et illi quidem nihil potius est 68, b. προὔργου τι ποιεῖν. aliquod utile agere 85, a. οἶμαι γὰρ ἔσεσθαί τι προὔργου. id enim censeo aliquo modo utile fore 85, d. τοῦ δικαίου ποιεῖσθαί τι προὐργιαίτερον 122, e. ἀλλὰ τοῖς μὲν τοὺς νόμους τιθέναι προαιρουμένοις προὔργου γέγονε τὸ πλῆθος τῶν κειμένων p. 439, 89. δεῖν δὲ τοὺς προὔργου τι ποιεῖν βουλομένους καὶ τῶν λόγων τοὺς ματαίους καὶ τῶν πράξεων τὰς μηδὲν πρὸς τὸν βίον φερούσας ἀναιρεῖν ἐξ ἁπασῶν τῶν διατριβῶν p. 486, 288.

προφασίζεσθαι] τοὺς μὲν γὰρ ἄλλους ὁρῶ ἐν τοῖς προοιμίοις προφασιζομένους ὑπὲρ τῶν μελλόντων ῥηθήσεσθαι 43, c.

πρόφασις] ὅρκον ἐπακτὸν (jusjurandum quod postulatur) προσδέχου διὰ δύο προφάσεις 6, e. ἵνα μηδεμίαν ὑπολίπω πρόφασιν 36, d. τὰς προφάσεις ἃς ἔλεγον πειράσομαι δηλῶσαι 273, b. ἡμᾶς δὲ διὰ ταύτην τὴν πρόφασιν ἀθλιώτατα πάντων ἀνθρώπων περιόψεσθε διακειμένους 305, c. ἀλλὰ μὴν οὐδ' ὁμοίας ἐκείνῳ φανήσει τὰς προφάσεις ἔχων 356, a. ἵνα δὲ μηδεὶς οἴηταί ἐμε διὰ μικρὰς προφάσεις ἔχειν τὸν κλῆρον 387, c. οὐ προφάσεως ἀπορῶ δι' ἥντινα λέγω ὑπὲρ Νικίου τουτουῒ 400, a. τὸ σωμάτιον οὐκ εὐκρινὲς ὄν, ἀλλ' ἔχον †πρόφασιν ἣν 415, e.

προφείδεσθαι] εἰ προήσομαι τὴν πόλιν ἀναξίως †προφεισαμένην ἑαυτῆς 116, b.

προφέρειν objicere. καὶ τὸν Μηλίων ἀνδραποδισμὸν καὶ τὸν Σκιοναίων ὄλεθρον ἐν τούτοις τοῖς λόγοις ἡμῖν προφέρουσιν 61, e. ἐντεῦθεν ὥσπερ ἐκ ταμιείου προφέρειν. hinc tanquam ex penu depromere 11, c.

προφθάνων τὴν ἀγνώμονα. illam enim iniquam vel illius iniquitatem si anteverteris p. 618, 3.

προχειρίζεσθαι (eligere) δημαγώγους 184, a.

πρόχειρος] ἵνα δὲ μὴ δοκῶ τὸ προχειρότατον (facillimum) ποιεῖν 223, b.

προχείρως alacriter. οὕτω προχείρως ἐπιχειρῶ σε νουθετεῖν 231, a.

πρυτανεῖον] ἐν πρυτανείῳ σιτούμενοι p. 442, 100. ἐν τοῖς πρυτανείοις μόνον κινδυνεύσων 373, c.

πρυτανεύειν, agere πρύτανιν. τὴν εἰρήνην ἐπρυτάνευσε. pacem tanquam rerum præfectus decrevit 66, a.

πρύτανις] περὶ ὧν οἱ πρυτάνεις προτιθέασιν 162, a. αἳ σεσημασμέναι μὲν ἦσαν ὑπὸ τῶν πρυτάνεων 365, d.

πρῴην] ἐχθὲς καὶ πρῴην. heri ac nuper 121, b.

πρωτεύειν] μὴ φθονεῖτε τοῖς παρ' ἐμοὶ πρωτεύουσι. ne invidete iis qui apud me primum locum tenent 39, b. ταῖς οὐσίαις προέχοντες καὶ ταῖς δόξαις πρωτεύοντες 129, b. τὰς πόλεις τὰς πρωτευούσας εὕροιμεν ἂν οὐκ ἐκ τῆς εἰρήνης μεγάλην ἐπίδοσιν λαβούσας 137, b. ἐπρωτεύσαμεν τῶν Ἑλλήνων 141, b. θαυμάζοντες καὶ ζηλοῦντες τοὺς ἐν τούτοις πρωτεύοντας 149, c. χρὴ δὲ τοὺς πρωτεύειν ἐν τοῖς Ἕλλησιν ἀξιοῦντας τοιούτων ἔργων ἡγεμόνας γίγνεσθαι 164, b. οὐ γὰρ ἐν ταῖς αὑτῶν πόλεσιν μόνον ἐπρώτευσαν 192, b. ἐξὸν αὐτοῖς λαμβάνειν ἐν ταῖς αὑτῶν πόλεσι γυναῖκας τὰς πρωτευούσας 216, a. ἐν ᾗ (στρατείᾳ) σφᾶς αὐτὰς παρέσχον πρωτευούσας 247, b. ἐκεῖνοι δὲ (Spartani) τοὺς ἐν τοῖς τοιούτοις τῶν ἔργων (maleficiis scil. et furtis) πρωτεύοντας βελτίστους εἶναι τῶν παίδων ὑπολαμβάνουσιν 277, d.

πρῶτος] οἶδα γὰρ καὶ τοὺς *πρώτους ἡμῶν εἰς ταύτην τὴν χώραν ἀφικομένους οὐ τῷ πλήθει τῶν ἄλλων περιγενομένους 128, c. Χίων δὲ τοὺς μὲν πρώτους τῶν πολιτῶν ἐφυγάδευσαν 179, b. ἐνίους τῆς πρώτης τάττειν. quosdam in prima phalange collocare 271, a. πλούτῳ μὲν πρῶτος ὢν τῶν Ἑλλήνων 353, a.

πτήσσειν perterreri. ἐπτηχότες διὰ τὸ μέγεθος τὸ τῆς πόλεως 94, a.

πτωχὸς] ἀλῆται καὶ πτωχοὶ καθέσταμεν 305, c.

πυκνὸς] τὰς ἐντύξεις (colloquia) μὴ ποιοῦ πυκνὰς τοῖς αὐτοῖς 6, b. πυκνοτάτας γὰρ ταῦτα λαμβάνει τὰς μεταβολὰς 141, b.

πυκνότης frequentia. διὰ τὴν πυκνότητα τῶν μεταβολῶν ἀθυμοτέρως διάγουσιν 65, a.

πυκτεύειν καὶ παγκρατιάζειν ὡς οἷόν τ' ἄριστα παιδευθέντες p. 482, 269.

πύλη] ἀναπεπταμέναις αὐτὸν ἐδέχοντο ταῖς πύλαις p. 450, 134.

πυλὶς] διελὼν τοῦ τείχους πυλίδα. parva muri porta perfracta 194, d.

πυνθάνεσθαι] ἡδέως ἂν οὖν πυθοίμην τῶν οὕτω διακειμένων 26, a. οἱ δ' οὐκ ἔφθησαν πυθόμενοι τὸν περὶ τὴν Ἀττικὴν πόλεμον, καὶ—illi vero, *Lacedæmonii*, non prius *fere* audierunt de hac in Atticam facta expeditione, quàm— 58, b. c. ὃν τρόπον, σοὶ μὲν αὖθις πυθέσθαι ῥᾴδιον. quod quomodo factum sit, tibi alias cognitu facile 89, a.

παρ' ὑμῶν τῶν ἀκουόντων πυνθάνεσθαι δίκαιόν ἐστιν. e vobis qui audieritis, cognoscendum erit 113, d. ἡδέως δ' ἂν αὐτῶν πυθοίμην 134, b. τὴν τοῦ βίου μεταβολὴν παρ' ἄλλων πυνθανόμενος οἶδα 221. ἃς γὰρ στάσεις ἐπυνθάνοντο πρότερον παρ' ἑτέροις οὔσας 129, d. 132, c. p. 474, 233. παρὰ πολλῶν ἔσται πυθέσθαι τοῖς εἰδέναι βουλομένοις. e multis audire licet iis qui scire volunt 265, b. πυνθάνεσθαι παρὰ τοῦ παιδός. puerum percontari 361, d. πυθόμενοι δὲ τὰ πραχθέντα πάντες εἴσεσθε 385, a. ἐγίγνωσκεν οὖν Εὐθύνους, ὅτι μὲν ἔκειτο τὰ χρήματα παρ' αὐτῷ, πολλοὺς ᾐσθημένους, ὁπόσα δὲ, οὐδένα πεπυσμένον. intelligebat igitur Euthynus, scire multos, pecuniam apud eum esse: quantam vero, id neminem audivisse 403, d.

πῦρ] τὸ μὲν γὰρ χρυσίον ἐν τῷ πυρὶ βασανίζομεν 7, b.

πωλεῖν] πολὺ τεχνικώτερον αὐτὰ πωλοῦντες τῶν ὁμολογούντων καπηλεύειν 15, a. ἃς ὑμεῖς πολὺ πλείονος ἀγοράζετε παρὰ τῶν διδόντων ἢ παρὰ τῶν πωλούντων 25, c. σύμπασαν τὴν ἀρετὴν καὶ τὴν εὐδαιμονίαν οὕτως ὀλίγου †πωλοῦντες 291, d.

πῶς] πῶς ἔχουσι πρὸς τοὺς φαύλους καὶ τοὺς σπουδαίους τῶν ἀνθρώπων. quomodo et adversus homines improbos et erga bonos viros essent animati 13, a. ὥστε πολὺ ἂν τις † πῶς οὐκ ἂν ἀληθέστερα τυγχάνοι λέγων 179, d.

ῥαβδοῦχοι lictores. πρόπομποι καὶ ῥαβδοῦχοι καὶ κήρυκες καὶ θρόνων ὑψηλοτάτων ἐπίτευξις φιλοσοφίας εἰσὶν ἀχλὺς p. 618, 1.

ῥᾴδιος] ῥᾷόν ἐστιν ἑνὸς ἀνδρὸς γνώμῃ προσέχειν τὸν νοῦν μᾶλλον ἢ— 30, a. ἔστι δ' ἁπλοῦς καὶ ῥᾴδιος ὁ λόγος ὁ περὶ τούτων 76, e. ὃν δὲ τρόπον, σοὶ μὲν αὖθις πυθέσθαι ῥᾴδιον. quod quomodo factum sit, tibi alias cognitu facile 89, a. θᾶττον σὺ τὰ ῥᾴω πράξεις ἢ κεῖνοι τὰ χαλεπώτερα 93, e. πεισθῆναι ῥᾳδίαν εἶναι τὴν πρᾶξιν 95, b. σοὶ δὲ τοῦ στρατοπέδου τοῦ κρατήσαντος τὴν ἐκείνου δύναμιν ῥᾴδιον πολὺ κρεῖττον παρασκευάσασθαι. tu vero exercitum eo longe firmiorem, a quo regis copiæ victæ sunt, facile comparabis 100, e. ὥστε ῥᾷον εἶναι συστῆσαι στρατόπεδον μεῖζον καὶ κρεῖττον ἐκ τῶν πλανωμένων ἢ τῶν πολιτευομένων 101, d. ῥᾷον γάρ ἐστιν ἐκ τῶν παρόντων κτήσασθαί σε τὴν καλλίστην, ἢ ἐξ ὧν παρέλαβες ἐπὶ τὴν νῦν ὑπάρχουσαν προελθεῖν. facilius enim est, isto rerum tuarum statu, parare pulcherrimam (gloriam), quam iis rebus quæ initio tibi contigerunt, eam qua nunc frueris consequi 105, d. εἰδότες ὅτι συστῆσαι μέν ἐστιν ἅπαντα χαλεπὸν, διαλῦσαι δὲ ῥᾴδιον. haud ignari quam sit difficile constituere omnia, quam facile vero dissolvere 110, d. ὅταν τὴν τῶν σωμάτων τροφὴν ἡμῖν ῥᾳδίαν οὖσαν ἴδωσιν 132, b. ἕνεκά γε τοῦ ῥᾴδιον εἶναι τὰ πράγματα λαβεῖν παρ' ἀλλήλων. cum res facilis sit legum scripta alii ab aliis mutuari 147, d. τὸ ῥᾷστον ποιεῖν, ἐπιτιμᾶν τοῖς ἄλλοις μηδὲν ἐπιδεικνὺς τῶν ἐμαυτοῦ 211, a. ῥᾴδιος καταμαθεῖν. oratio intellectu facilis 284, b. νόμους ἱκανοὺς τοῖς χρῆσθαι μέλλουσι καὶ ῥᾳδίους συνιδεῖν ἑώρων ἀναγεγραμμένους 262, e. μηδὲ ποιεῖσθαι πολέμους ἀδόξους καὶ χαλεποὺς, ἐξὸν ἐντίμους καὶ * ῥᾳδίους 408, e. ῥᾷον ἄν τις παρὼν πρὸς παρόντας φράσειεν ἢ δι' ἐπιστολῆς δηλώσειεν 404. ταῦτα δὲ κατεργάσασθαι πολὺ ῥᾷόν ἐστιν ἐκ

τῶν νῦν παρόντων 412, e. μὴ τοὺς ῥᾴστους προαιρεῖσθαι τῶν λόγων ἀλλὰ τοὺς ἐργωδεστάτους p. 614, 8.

ῥᾳδίως] οὕτω γὰρ τὰ τοῖς ἄλλοις χαλεπῶς εὑρημένα συμβήσεταί σοι ῥᾳδίως μανθάνειν 5, e. ῥᾳδίως ἂν ἐπέδειξα τὸν πρόγονον ὑμῶν καὶ τῇ φρονήσει καὶ τῇ φιλοτιμίᾳ διενεγκόντα πάντων τῶν προγεγενημένων 104, c. ῥᾳδίως ἐπικρατήσομεν τῶν ἐχθρῶν 160, b. εὐκόλως καὶ ῥᾳδίως φέροντες 239, b. εἰ † ῥᾳδίως οὕτω γράφω 426, c.

ῥᾳθυμεῖν] ἐν γὰρ τῷ ῥᾳθυμεῖν καὶ τὰς πλησμονὰς ἀγαπᾶν εὐθὺς αἱ λῦπαι ταῖς ἡδοναῖς παραπεπήγασι. nam in socordia quidem luxuriæque amore, molestiæ statim voluptatibus adhærescunt 12, b. οὐ μὴν ἐπὶ τούτοις ἀθυμήσας εἱλόμην ῥᾳθυμεῖν 41, b. μὴ γὰρ †ῥᾳθυμήσας 104, e. μὴ ῥᾳθυμεῖν αἱρούμενοι ἀλλὰ χρηστοὶ εἶναι βουλόμενοι 206, c. ἐξὸν αὐτοῖς ῥᾳθυμεῖν μηδὲν δαπανωμένοις p. 491, 308.

ῥᾳθυμία] ἐξουσίαν τῇ ῥᾳθυμίᾳ παρασκευάζων. ignaviæ facultatem offerens 3, b. ἀπήλλαξε τοὺς πρεσβυτέρους τῶν † ῥᾳθυμιῶν ταῖς τιμαῖς ταῖς πολιτικαῖς 151, a. τὰς εὐγενείας ταῖς αὑτῶν ῥᾳθυμίαις καὶ κακίαις καταισχύνοντες 155, c. τοὺς μὲν ἰδιώτας ἐνέπλησεν ἀδικίας, ῥᾳθυμίας, ἀνομίας, φιλαργυρίας 178, d. ὁρῶν τὰς ἀληθινὰς τῶν ῥᾳθυμιῶν οὐκ ἐν ταῖς ἀργίαις ἐνούσας 197, b. οὐ διὰ μικρὰς ῥᾳθυμίας μεγάλους πόνους ὑπολειπόμενος 198, a. οὗτοι μὲν οὖν βοηθοῦντες ταῖς αὑτῶν ἀσθενείαις καὶ ῥᾳθυμίαις ἴσως τοιαῦτ' ἐροῦσιν p. 617, 18.

ῥᾴθυμος] ἄφθονον καὶ ῥᾴθυμον τὸν βίον copiosam et facilem vitæ rationem αὑτοῖς κατεστήσαντο 63, b. οὐδεὶς γάρ ἐστιν οὕτω ῥᾴθυμος, ὅστις— 195, d. ῥᾳθυμοτάτην τοῖς ἁμαρτάνουσιν εὑρίσκων καταφυγὴν 230, b.

ῥᾳθύμως] εἰ ῥᾳθυμότερον τῶν ἄλλων βουλευσόμεθα περὶ τούτων 127, d. ῥᾳθυμότερον δὲ περὶ αὐτῶν ἐκκλησιάζομεν τῶν πάντα τὰ δέοντα πραττόντων 142, a. οὐδ' ἠξίωσεν αὐτὸς ῥᾳθύμως ζῆν 352, c. αὐτόν τε σὲ ῥᾳθυμότερον ἡγοῦνται ζῆν τῶν ἄλλων p. 456, 157.

ῥάκος] ἐν ῥάκεσι περιφθειρόμεναι p. 615, 12.

ῥᾳστώνη facilitas. πολλὴν ῥᾳστώνην ἐποίησαν 47, e. ὀλίγοις πόνοις πολλὰς ῥᾳστώνας κτώμενος 198, a.

ῥαψῳδεῖν] οὐδὲν μὲν παρ' αὐτῶν λέγοντες, τὰ δ' ἐκείνων ῥαψῳδοῦντες 236, e. οἶμαι γὰρ ἂν παῦσαι τοὺς ἐν τῷ Λυκείῳ ῥαψῳδοῦντας τἀκείνων. arbitror enim me effecturum ut isti in Lyceo versus illorum canere desinant 239, d.

ῥέπειν] ῥέποντες ἐπὶ τὸ πείθεσθαι τοῖς ἀνεπιτήδειόν τι λέγουσι. eo inclinantes ut iis credant qui aliquid mihi incommodum dicunt 311, a.

ῥῆμα] Πίνδαρον τὸν ποιητὴν οἱ πρὸ ἡμῶν γεγονότες ὑπὲρ ἑνὸς μόνου ῥήματος οὕτως ἐτίμησαν p. 461, 177.

ῥητορεία oratio rhetorices artificio elaborata. item oratoria eloquentia. ἐπειδὰν γὰρ ὁ λόγος ἀποστερηθῇ τῆς τε δόξης τῆς τοῦ λέγοντος καὶ τῆς φωνῆς καὶ τῶν μεταβολῶν τῶν ἐν ταῖς ῥητορείαις γιγνομένων 87, d. καὶ τῶν ἄλλων ἰδεῶν τῶν ἐν ταῖς ῥητορείαις διαλαμπουσῶν γέμοντες. cæterisque figuris quæ in rhetorica effulgeant referti 233, b.

ῥητορεύειν rhetorico more pronunciare. πάντες ὑπειλήφασι τοὺς μὲν (λεγομένους λόγους) περὶ σπουδαίων πραγμάτων καὶ κατεπειγόντων

σεμνότης] σεμνότησιν οὐκ ἀληθιναῖς ἀλλὰ πεπλασμέναις κεχρημένοι 136, c. τὴν γὰρ ὑπεροψίαν σεμνότητος μετέχειν λέγουσιν. nam superbiam cum majestate communem naturam habere aiunt 283, c.

σεμνύνεσθαι] εὑρήσεις ὡς ἐπὶ τὸ πολὺ τοὺς σεμνυνομένους ψυχροὺς ὄντας. eos qui gravitatem affectant, plerumque frigere comperies 21, d. σεμνύνεσθαι γὰρ ἐμελέτων 149, d. σεμνυνόμεθα καὶ μέγα φρονοῦμεν 169, c. εἰδὼς τοὺς καλοὺς κἀγαθοὺς τῶν ἀνδρῶν οὐχ οὕτως ἐπὶ τῷ κάλλει τοῦ σώματος σεμνυνομένους 204, b. ὅσῳ περ τὸ σεμνύνεσθαι τοῦ σκώπτειν καὶ τὸ σπουδάζειν τοῦ παίζειν ἐπιπονώτερόν ἐστιν 210, b. οὐκ ἐσεμνύνατο ἐπὶ τοῖς παροῦσιν 350, c. οὐδ᾽ ἠξίωσεν αὐτὸς μὲν ῥᾳθύμως ζῇν, σεμνύνεσθαι δ᾽ ἐπὶ ταῖς τῶν προγόνων ἀρεταῖς 352, c.

σεμνῶς] ἁγίως περὶ ταῦτα καὶ σεμνῶς ἔχουσιν 226, c.

σημαίνειν] αἳ σεσημασμέναι μὲν ἦσαν ὑπὸ τῶν πρυτάνεων 365, c. † σεσημασμέναι ὑπὸ τῶν χορηγῶν 365, d.

σημεῖον] τεκμήριον τῆς πρὸς ὑμᾶς εὐνοίας, σημεῖον δὲ τῆς πρὸς Ἱππόνικον συνηθείας 1, b. σημεῖον ἔστω σοι τοῦ καλῶς βασιλεύειν, ἐὰν— 21, b. σημεῖον δ᾽ ἄν τις ποιήσαιτο τὴν Ἡσιόδου καὶ Θεόγνιδος καὶ Φωκυλίδου ποίησιν 23, b. τὸ γὰρ λέγειν ὡς δεῖ τοῦ φρονεῖν εὖ μέγιστον σημεῖον ποιούμεθα 28, a. σημεῖον δὲ τοῦ τάχους καὶ τῆς ἁμίλλης. signum vero *illorum* celeritatis et contentionis *hoc est* 58, c. 61, e. 63, a. ἡγοῦνται γὰρ τὸ μὲν ἀρετῆς εἶναι σημεῖον, τὰ δὲ πλεονεξίας 112, b. οἱ τοῦ μὲν πλούτου μέγιστον †σημεῖον κατέλιπον 351, c. ἐμοὶ δὲ μέγιστα ἔσεσθαι † σημεῖα τὰ πρὸς Στρατοκλέα πραχθέντα 366, a.

σιγᾶν] ἐν τοῖς ἄλλοις ἄμεινον σιγᾶν ἢ λέγειν 11, b. τοὺς ἐκείνου (Pythagoræ) μαθητὰς μᾶλλον σιγῶντας θαυμάζουσιν ἢ τοὺς ἐπὶ τῷ λέγειν μεγίστην δόξαν ἔχοντας 227, b. ᾧ ὑπῆρχε σιγῶντι μὲν ὑπὸ τούτου ἀπεστερῆσθαι τῶν χρημάτων 360, c.

σιγὴ] ἐν τούτοις μόνοις ὁ λόγος τῆς σιγῆς κρείττων 11, b.

σῖνος nocumentum. σωμάτιον οὐκ εὔκρινὲς ὄν, ἀλλ᾽ ἔχον ἄττα σίνη 415, e.

σιτεῖσθαι] ἐν πρυτανείῳ σιτούμενοι p. 442, 100.

σιτίζειν] τοὺς κακοὺς εὖ ποιῶν ὅμοια πείσει τοῖς τὰς ἀλλοτρίας κύνας σιτίζουσιν 8, c.

σιτίον] τῶν σιτίων τοῖς ἡδίστοις μᾶλλον ἢ τοῖς ὑγιεινοτάτοις χαίροντες 12, a. τῶν σιτίων χαίροντες τοῖς ὑγιεινοτάτοις 23, d.

σιτοδεία annonæ penuria. τοτὲ δ᾽ ἐν σιτοδείαις καθεστῶτες 177, b.

σῖτος] ἀπαρχὰς τοῦ σίτου καθ᾽ ἕκαστον ἐνιαυτὸν ὡς ἡμᾶς ἀποπέμπουσι 46, e. τὸν σῖτον τὸν ἐν τῇ χώρᾳ διεφθείρετε 349, b.

σιωπᾶν] ἐὰν ὁμοίως συμφέρῃ τὰς πράξεις σιωπᾶσθαι σοί τε τῷ λέγοντι κἀκείνοις τοῖς ἀκούουσι. si res illas taceri æque expediat etiam illis qui audiunt, ac tibi dicenti 6, e. ἀλλ᾽ ὡς καλῶν ὄντων τῶν πεπραγμένων ὑμνεῖσθαι μᾶλλον ἢ σιωπᾶσθαι περὶ αὐτῶν ἐβουλήθησαν 218, a.

σιωπὴ] σιωπὴν ποιησάμενος 281, d.

σκεπτέον considerandum est. πρῶτον μὲν οὖν σκεπτέον τί τῶν βασιλευόντων ἔργον ἐστὶ 16, d. σκεπτέον δ᾽ ὅπως ἀξίως ἡμῶν αὐτῶν πολεμήσομεν 130, d. τὰς πράξεις τὰς καθ᾽ ἑκάστην τὴν ἡμέραν σκεπτέον 420, a.

σκηνίτης tabernarius. Πυθόδωρον τὸν σκηνίτην καλούμενον τίς οὐκ οἶδεν ὑμῶν πέρυσιν ἀνοίξαντα τὰς ὑδρίας 365, c.

σκηνοραφεῖον] ἕτεροι δ᾽ ἐν τοῖς †σκηνοραφείοις κυκεύουσι p. 491, 306.

σκιράφειον aleatorium. τοιγαροῦν οὐκ ἐν τοῖς σκιραφείοις οἱ νεώτεροι διέτριβον 149, c. ἕτεροι δ᾽ ἐν τοῖς *σκιραφείοις κυβεύουσι p. 491, 306.

σκολιὸς] μείζω καὶ † σκολιώτερα τούτων ἐπιτελέσαντες 93, e.

σκοπεῖν] εἰ θέλοιμεν σκοπεῖν τὰς φύσεις τὰς τῶν ἀνθρώπων 23, d. τοὺς νόμους ἐσκόπουν ὅπως ἀκριβῶς καὶ καλῶς ἕξουσι 56, c. μετὰ τούτων γὰρ σκοπούμενος μᾶλλον ἢ μετὰ τῆς τῶν πολλῶν δόξης ἄμεινον ἂν βουλεύσαιο περὶ αὐτῶν 88, b. πάντες ἄνθρωποι, ὅταν περ ἀδικεῖν ἐπιχειρῶσιν, ἅμα καὶ τὴν ἀπολογίαν σκοποῦνται 403, a.

σκόπος] ὥσπερ σκοποῦ κειμένου στοχάσεσθε τῇ ψυχῇ 420, a.

σκυθρωπὸς torvus. ἔθιζε σεαυτὸν εἶναι μὴ σκυθρωπὸν ἀλλὰ σύννουν 5, a.

σκώπτειν] ὅσῳ περ τὸ σεμνύνεσθαι τοῦ σκώπτειν ἐπιπονώτερόν ἐστιν 210, b.

σὸς] εἰ τὰς * σὰς πράξεις σοι διεξιοίην 102, a.

σοφία] καὶ πρὸς τούτοις ἀνδρία προσεγένετο καὶ σοφία καὶ δικαιοσύνη 193, c. ἢ κατὰ * σοφίαν ἢ κατ᾽ ἄλλην τιν᾽ ἀρετὴν ὑπολαμβάνεσθαι μειζόνως ἢ κατὰ τὴν ἀξίαν 226, b. μεγίστην ἐπὶ σοφίᾳ καὶ δικαιοσύνῃ καὶ σωφροσύνῃ δόξαν εἰληφὼς (de Pericle dicitur) p. 446, 118.

σοφιστὴς] καὶ τῶν ἄλλων σοφιστῶν, εἴ τι χρήσιμον εἰρήκασι, ἀναγινώσκειν 13, b. τῶν ποιητῶν τὰ βέλτιστα μανθάνειν καὶ τῶν ἄλλων σοφιστῶν ibid. μήτε τῶν σοφιστῶν μηδενὸς οἴου δεῖν ἀπείρους ἔχειν 17, c. ἀλλ᾽ ὁμοίως οἱ τοιοῦτοι τῶν λόγων ἄκυροι τυγχάνουσιν ὄντες τοῖς νόμοις καὶ ταῖς πολιτείαις ταῖς ὑπὸ τῶν σοφιστῶν γεγραμμέναις 84, e. ἀμφισβητοῦντες τοῦ φρονεῖν καὶ φάσκοντες εἶναι σοφισταὶ 209, e. ὑπὸ τῶν σοφιστῶν τῶν ἀδοκίμων καὶ πονηρῶν διαβαλλόμενος 233, d. εἰδὼς ἐνίους τῶν σοφιστῶν βλασφημοῦντας περὶ τῆς ἐμῆς διατριβῆς 310, b. 311, a. ἀλλὰ τοὺς μὲν καλουμένους σοφιστὰς ἐθαύμαζον 344, a. ἀνομοίως ζῶν καὶ τοῖς σοφισταῖς καὶ τοῖς ἰδιώταις p. 456, 159. ὅλως μὲν οὖν οὐδεὶς εὑρεθήσεται τῶν καλουμένων σοφιστῶν πολλὰ χρήματα συλλεξάμενος p. 458, 166. μηδὲ χρὴ τὰς ἐργασίας ἴσας νομίζειν τάς τε τῶν σοφιστῶν καὶ τὰς τῶν ὑποκριτῶν p. 458, 168. λέγουσι γὰρ οἱ μὲν ὡς ἔστιν ἡ περὶ τοὺς σοφιστὰς διατριβὴ φλυαρία καὶ φενακισμὸς p. 469, 211. μεταφέροντες τὰς πονηρίας τὰς τῶν φασκόντων μὲν εἶναι σοφιστῶν ἄλλο δέ τι πραττόντων ἐπὶ τοὺς οὐδὲν τῶν αὐτῶν ἐκείνοις ἐπιτηδεύοντας p. 473, 230. σοφιστῇ μισθὸς κάλλιστός ἐστι καὶ μέγιστος, ἦν— p. 474, 235. ὥστε Σόλων μὲν τῶν ἑπτὰ σοφιστῶν ἐκλήθη p. 478, 251.

σοφὸς] σοφοὺς νόμιζε μὴ τοὺς ἀκριβῶς περὶ μικρῶν ἐρίζοντας, ἀλλὰ — 22, c. τούς τε σοφοὺς καὶ τοὺς ἀμαθεῖς δοκοῦντας εἶναι ταύτῃ πλεῖστον ἀλλήλων διαφέροντας ὁρῶσα 50, d. προσποιούμενοι σοφώτατοι τῶν Ἑλλήνων εἶναι 170, a. d. σοφοὺς νομίζω τοὺς ταῖς δόξαις ἐπιτυγχάνειν ὡς ἐπὶ τὸ πολὺ τοῦ βελτίστου δυναμένους p. 487, 290.

σπανίζειν] νῦν δὲ πλείους εἰσὶν οἱ σπανίζοντες τῶν ἐχόντων 156, e.

ναι τῆς ψυχῆς 109, b. τῆς ὑπαρχούσης εὐδαιμονίας † στερηθέντες 126, b. τῶν ἐλπίδων ἁπασῶν ἐστερῆσθαι 303, b. πόλεως καὶ χώρας καὶ χρημάτων ἐν μιᾷ στερηθέντες ἡμέρᾳ 305, c. τῆς πατρίδος * στερηθεὶς 356, e. καὶ τότε μὲν μεθ' ὑμῶν νῦν δ' ὑφ' ὑμῶν τῆς πόλεως στερήσομαι 357, b. πολὺ ἂν δικαιότερον στερηθείη τῶν αὑτῆς ἢ τῶν ἐκείνου κληρονόμος γένοιτο 391, a. εἰ μὴ μόνον ἐξαρκήσειεν αὐτῇ στέρεσθαι τῶν παίδων 394, a.

στεφανίτης] ἐν τοῖς στεφανίταις ἀγῶσι (certaminibus in quibus de corona certatur) νικῶντες p. 494, 322. 415, d.

στέφανος] τούτους ἅπαντας ἡ πόλις χρυσοῖς στεφάνοις ἐστεφάνωσεν p. 442, 100. μετασχηκέναι ῥώμης ἀξίας τῶν στεφάνων 415, d.

στεφανοῦν] ὥστε στεφανωθῆναι καὶ πανοπλίαν λαβεῖν παρὰ τοῦ στρατηγοῦ 352, d.

στήλη] καὶ μάτην ἐν ταῖς στήλαις ἐστίν. et frustra in columnis sunt inscripta 77, d. 78, d. ταῦτα δὲ πράξας τὰς στήλας τὰς Ἡρακλέους καλουμένας ἐποιήσατο 105, b. τοῖς λόγοις τοῖς ἐνθάδε γραφομένοις οὐδὲν μᾶλλον προσέχειν τὸν νοῦν ἢ τοῖς ἔξω τῶν Ἡρακλέους στηλῶν λεγομένοις 285, c. † στήλην ἀναγράφειν 348, d.

* στηλίτην ἀναγράφειν 348, d.

στοὴ] τὰς στοὰς ἐμπιπλάναι γραμμάτων. porticus implere *legum* scriptis 148, a.

στοιχεῖον elementum. ταῦτα γὰρ στοιχεῖα πρῶτα καὶ μέγιστα χρηστῆς πολιτείας ἐστὶ 18, a. ἔστι δὲ τοῦτο στοιχεῖον καὶ κατὰ τῶν ἄλλων ἁπάντων καὶ κατὰ τῶν ὑμετέρων πραγμάτων 419, d.

στόμα] λέλυκα τὸ στόμα 252, c. ἔχων τὴν φωνὴν καὶ τὴν τοῦ στόματος σαφήνειαν τοιαύτην ὥστε— p. 467, 203.

στοχάζεσθαι] τῆς τῶν θεῶν στοχάζεσθαι διανοίας 12, d. ὧν χρὴ στοχάζεσθαι 16, b. στοχάζεσθαι τοῦ δέοντες δυνάμεναι 165, a. τῆς ἀληθείας στοχαζόμενοι 289, e. χαλεπὸν γὰρ στοχάζεσθαι τῆς ὑμετέρας διανοίας 319, a. μάλιστα μὲν τῇ φιλανθρωπίᾳ τῇ σῇ * στοχαζόμενος 415, b. ὥσπερ σκοποῦ κειμένου στοχάσεσθε τῇ ψυχῇ 420, a.

στρατεία] θεωρίᾳ μὲν μᾶλλον ἢ στρατείᾳ προσεοικώς. (bellum quidem) spectaculo potius quam expeditioni simile 79, a. ταῦτα διοικεῖς πρὸ τῆς ἐπὶ τὸν βάρβαρον στρατείας 93, d. πῶς οὐ χρὴ θαρρεῖν ποιούμενον τὴν στρατείαν ταύτην 100, e. ποιησάμενος στρατείαν ἐπὶ Τροίαν 104, e. 110, a. εἰς τὴν στρατείαν ταύτην πλέον ἢ τάλαντα πεντακισχίλια καὶ μύρια κατηνάλωσεν 201, b.

στρατεύειν] περὶ μίαν πόλιν ἔτη δέκα † στρατεύσαντες 57, c. ἐπ' Εὐαγόραν στρατεύσας. contra Evagoram exercitu misso 69, e. ἔστι δὲ τὸ μὲν πείθειν † στρατεύειν ἰδίᾳ σοὶ τιμὴν φέρον 85, c.

στράτευμα] οὗτος οὐδενὸς πώποτε τῶν στρατευμάτων τῶν τὴν χώραν αὐτοῦ λυμαινομένων ἐπεκράτησεν 102, b. τηλικούτου στρατεύματος ὄντος Θεσπιᾶσιν, ὑφ' ὧν ἂν ὑπὸ Θηβαίων διεφθάρημεν 299, b.

στρατηγεῖν οἰόμενοι δεῖν ἀλλὰ μὴ τυραννεῖν αὐτῶν. existimantes oportere ut duces essent, non illis dominarentur 56, e. ὃς (Conon) ὑπὲρ τῆς Ἀσίας στρατηγήσας τὴν ἀρχὴν τὴν Λακεδαιμονίων κατέλυσεν 73, a. μετέχειν ταύτης τῆς στρατιᾶς τῆς ὑπ' Ἀθηναίων καὶ Λακεδαιμονίων στρατηγουμένης 79, e. δόξας οὔτε βασιλεύειν οὔτε στρατηγεῖν ἄξιος εἶναι. habitus neque dignus qui regnet, neque qui exercitum ducat 102, d. οἵτινες ἀμφότερα δύνανται, καὶ πολιτεύεσθαι καὶ στρατηγεῖν 110, d.

στρατηγία] τοσοῦτον διήνεγκε τῇ στρατηγίᾳ τῶν πρὸς τὴν αὐτὴν ταύτην ὕστερον πολεμησάντων. tanto virtute imperatoria iis evasit præstantior, qui postea in eandem bellum intulerunt 105, a. ταῖς στρατηγίαις τοὺς βαρβάρους κατεστραμμένος 110, e. ἐπὶ τῆς ἐκείνου (Timothei) στρατηγίας οὐδεὶς ἂν οὔτ' ἀναστάσεις εὕροι γεγενημένας οὔτε πολιτειῶν μεταβολὰς p. 450, 135.

στρατηγικὸς] στρατηγικὸς ὢν τῇ πρὸς τοὺς κινδύνους εὐβουλίᾳ 198, b. μηδὲν πώποτε μεταχειρισάμενος τῶν στρατηγικῶν. qui nihil unquam e rebus illis quæ ad imperatorem pertinent tractavit 103, c.

στρατηγὸς] ὅταν μὲν πολλοὺς ἐκπέμψῃ στρατηγοὺς (urbs scil. Atheniens.) 31, d. 32, a. ὃς (Conon) ἦν ἐπιμελέστατος τῶν στρατηγῶν 70, b. καὶ ταῦτα πέμπων ὡς τοὺς βασιλέως στρατηγοὺς ὑπισχνεῖτο ποιήσειν. et hæc, missis ad regis duces literis, se confecturum pollicitus est 94, e. μήτε στρατιώτας ἔχειν μήτε στρατηγοὺς 107, d. τούτους μὲν οὐκ ἀξιοῦμεν στρατηγοὺς χειροτονεῖν ὡς νοῦν οὐκ ἔχοντας 170, c. ἢν τοῖς στρατηγοῖς τοὺς συμμάχους ὅ τι ἂν βούλωνται ποιεῖν ἐκδιδῶμεν 186, a. ὑμεῖς μὲν γὰρ χειροτονεῖτε στρατηγοὺς τοὺς εὐρωστοτάτους τοῖς σώμασι p. 448, 123.

στρατιώτης] τῶν στρατιωτῶν συμμεινάντων καὶ καλῶς ἐνεγκόντων τὴν συμφορὰν 71, c. τοῖς στρατιώταις οὕτως ἐρήμοις οὖσι συμβάλλειν. cum militibus ita destitutis armis decertare 100, d. πλέον ἀνήλισκον εἰς τὰς διδομένας τοῖς συλλέγουσι δωρεὰς ἢ τὴν εἰς τοὺς στρατιώτας μισθοφορὰν 101, d. μήτε στρατιώτας ἔχειν μήτε στρατηγοὺς 107, d. ὥστ' οὐκ ἀπέχρησεν αὐτῷ λαβεῖν στρατιώτας τῶν ἰδιωτῶν (milites privatæ conditionis) 248, d.

στρατιωτικὸς] ἀδόξους καὶ στρατιωτικοὺς κινδύνους αὑτῷ προσεξευρίσκων. ignobilia et militaria pericula sibi ipsi excogitans 408, d.

στρατιωτικῶς ζῆν 248, e.

στρατόπεδον, interdum dicitur castra cum militibus ipsis; sæpius exp. per exercitus. βασιλέα τῶν στρατοπέδων κύριον καθιστάντες 32, a. στρατοπέδῳ πορεύοντες. cum exercitu progredientes 58, c. τῷ στρατοπέδῳ πλεῦσαι διὰ τῆς ἠπείρου. cum exercitu navigasse per continentem 58, e. στρατοπέδον ἐγκαταστήσαντες. castra ponendo 75, c. σοὶ δὲ τοῦ στρατοπέδου τοῦ κρατήσαντος τὴν ἐκείνου δύναμιν ῥᾴδιον πολὺ κρεῖττον παρασκευάσασθαι. tu vero exercitum eo longe firmiorem, a quo regis copiæ victæ sunt, facile comparabis 100, e. ὅσοι τριήρων μὲν ἡγεῖσθαι καὶ στρατοπέδων ἄρχειν ἀξιοῦσιν ἡμᾶς. qui censent nos quidem terra marique exercitibus cum imperio præesse oportere 117, a. στρατόπεδον συστησάμενοι. cum exercitum comparassent 119, e. οὔτε στρατοπέδοις ἐντὸς Ἅλυος ποταμοῦ κατέβαινον 156, c. ἀλλ' ὁ μὲν τῷ Περσῶν στρατοπέδῳ τὸ Μήδων ἐνίκησεν 196, a. στρατόπεδα συνιστάντες

ἐξ αὐτῶν 267, e. ἐν τοῖς στρατοπέδοις τοῖς πλανωμένοις κατατετριμμένος p. 447, 122.

στρεβλοῦν] μαστιγοῦν τὸν ἐκδοθέντα καὶ στρεβλοῦν 361, d.

συγγένεια] ἀναμνησθῆναι τῆς συγγενείας τῆς πρὸς ἀλλήλους ὑπαρχούσης 49, b. τὰς συγγενείας εἰς ἔχθραν προάγειν. necessitudines in inimicitias inducere 77, a. τοὺς τῆς αὐτῆς συγγενείας μετέχοντας ἀπολλύναι ζητοῦντες 108, a. δίδωσιν αὐτῷ τὴν χώραν διὰ τὴν συγγένειαν τὴν πρὸς τοὺς παῖδας 119, b. νομίζοντες διὰ τῆς * συγγενείας καὶ τῆς εὐσεβείας τῆς ἐκείνου τάχιστ' ἂν εὑρέσθαι παρὰ τῶν θεῶν τῶν παρόντων κακῶν ἀπαλλαγὴν 191, e. τῆς τούτων συγγενείας ἄξιος 192, c. τῆς αὐτῆς συγγενείας μετέχοντες 278, d. ταῖς μὲν εὐνοίαις ἅπαντες οἰκεῖοι, τῇ δὲ συγγενείᾳ τὸ πλῆθος ἡμῶν 306, c.

συγγενὴς] ὥσπερ τῶν χρημάτων ἀλλ' οὐκ ἐκείνου συγγενὴς οὖσα 390, d.

συγγηράσκειν] τῆς ἀρετῆς κτῆσις μόνη συγγηράσκει 2, c.

συγγίνεσθαι] χρυσὸς δὲ ῥυεὶς Δανάῃ συνεγένετο. in aureum imbrem mutatus, cum Danaë congressus est 217, d. ἄλλαις γυναιξὶ συνεγένετο 385, d.

συγγνώμη] παρακελεύομαι μηδεμίαν μοι συγγνώμην ἔχειν 43, d. καὶ πολλὴν αὐτοῖς ἔχω συγγνώμην 57, b. τοῖς δ' ἄλλοις τὴν δουλείαν αἱρουμένοις συγγνώμην εἶχον 60, b. μηδεμιᾶς συγγνώμης τυγχάνειν 145, a. ὥστε καὶ ταῖς γυναιξὶ ταῖς αὐτῶν ὑπὸ τούτου (pulchritudine scil.) κρατουμέναις συγγνώμην ἔχουσι 218, a.

σύγγραμμα] πολλὰ τῶν μετὰ μέτρου ποιημάτων καὶ τῶν καταλογάδην συγγραμμάτων μεγάλας τὰς προσδοκίας παρέσχεν 16, b. τὰ συμβουλεύοντα καὶ τῶν ποιημάτων καὶ τῶν συγγραμμάτων χρησιμώτατα μὲν ἅπαντες νομίζουσιν. et poemata et alia scripta quæ suasione constant, omnes utilissima esse judicant 23, b. πολὺ τούτων πραγματωδέστερα συγγράμματα κατέλιπον ἡμῖν 208, c. περὶ τῶν ἐμῶν συγγραμμάτων πλείω πεποίηται λόγον ἢ περὶ τῶν ἄλλων ἁπάντων 313, a. ἵνα γένῃ συγγράμματος ἀκροατής. ut fias orationis scriptæ auditor 405, c.

συγγράφειν] ὅσοι μὲν οὖν τοὺς προτρεπτικοὺς λόγους συγγράφουσι. quotquot igitur orationes exhortatorias scribunt 1, c. ἐπήρθην πάλιν † συγγράψαι περὶ αὐτῆς 84, c. περὶ τῶν τοιούτων οὐδεὶς πώποτ' αὐτῶν συγγράφειν ἐπεχείρησεν 190, d. τὸν λόγον ὃν συνέγραψας οὐκ ἀπολογίαν ὑπὲρ Βουσίριδος ἀλλ' ὁμολογίαν τῶν ἐπικαλουμένων δικαίως ἄν τις εἶναι νομίσειεν. oratio a te conscripta, non defensio Busiridis, sed criminum confessio recte existimari potest 230, a. ἆρ' οὖν χρὴ τοιούτους λόγους † συγγράφειν 230, d. συγγεγραμμένα λέγων. quæ scripta sunt recitans 313, a. * συγγράψας ἐπιστολὴν 369, b. συγγράφεσθαι. scripto cavere, quod syngrapha dicitur 78, b. εἰρήνην εἰς ἅπαντα συνεγράψαντο τὸν χρόνον ὥσπερ πρὸς εὐεργέτην 265, e.

συγγραφεὺς] ἑλέσθαι συνέδρους ἢ συγγραφέας 151, d. συγγραφεὺς τῶν λόγων τῶν λυπούντων ὑμᾶς 317, c.

συγκαθέζεσθαι] συγκαθεζόμενοι τρεῖς ἢ τέτταρες τῶν ἀγελαίων (gregariorum) σοφιστῶν 236, d.

συγκαλεῖν] συγκαλέσας τοὺς ναυκλήρους 369, b.

συγκαταθάπτειν] ἵν' αὐτὸν συγκαταθάψειαν 390, d.

συγκατασκευάζειν] καὶ σχεδὸν ἅπαντα τὰ δι' ἡμῶν μεμηχανημένα λόγος (eloquentia) ἡμῖν ἐστὶν ὁ συγκατασκευάσας 27, e.

συγκαταστρέφεσθαι, una cum sub jugo redigere. καὶ τοὺς ἀφισταμένους τῆς ἀρχῆς τῆς βασιλέως συγκαταστρεφόμεθα 107, e.

συγκατορθοῦν secundare. εἰ μή τις θεῶν αὐτὰ συγκατώρθωσεν 112, e.

συγκεῖσθαι] ἐπὶ μὲν ταῖς συμφοραῖς ταῖς ὑπὸ τῶν ποιητῶν συγκειμέναις (ob calamitates quæ a poëtis sunt confictæ) δακρύειν ἀξιοῦσιν 76, a. ἐκ τοιούτων σωμάτων συγκειμένη 213, d. πρὸς δ' ἐμὲ ποιεῖν αὐτὸν ἠξίουν τὰ συγκείμενα 363, b. ὁμολογεῖται μὲν γὰρ τὴν φύσιν ἡμῶν ἔκ τε τοῦ σώματος συγκεῖσθαι καὶ τῆς ψυχῆς p. 464, 193.

συγκινδυνεύειν] Χίων δὲ προθυμότατα πάντων τῶν συμμάχων τῷ ναυτικῷ συγκινδυνευσάντων 179, a. ταύτῃ δὲ τὸ κοινὸν τῆς πόλεως συγκινδυνεύει 377, d.

συγκλείειν] συγκλείσας τὴν ἀρχὴν τῶν ῥηθήσεσθαι μελλόντων τῇ τελεύτῃ τῶν ἤδη προειρημένων 238, a. ὁμολογούμενον ἀεὶ τῷ προειρημένῳ καὶ συγκεκλειμένον. cum prius dicto perpetuo cohærens et connexum 342, d.

συγκομιδὴ] εὐκαίρως πρὸς τὴν συγκομιδὴν τῶν καρπῶν (ad fructus comportandos) τὰ παρὰ τῶν θεῶν αὐτοῖς συνέβαινεν 145, d.

συγκομίζειν] συνεξεκόμισ' αὐτῷ καὶ τὴν μητέρα καὶ τὴν ἀδελφὴν 388, c.

συγκρούειν conturbare. ἡμεῖς δὲ τοσούτου δέομεν συγκρούειν τι τῶν ἐκείνου πραγμάτων. nos autem tantum abest ut ullas illius res conturbemus 68, b.

συγκρύπτειν] καὶ νομίζετε τῆς αὐτῆς ζημίας ἀξίους εἶναι τοὺς συγκρύπτοντας τοῖς ἁμαρτάνουσιν. censete celantes eadem pœna dignos esse, qua delinquentes 37, e. αἱ μὲν γὰρ εὐτυχίαι καὶ τοῖς φαύλοις τῶν ἀνθρώπων τὰς κακίας συγκρύπτουσιν. nam secundæ quidem res etiam ignavorum hominum vitia contegunt 137, a. ἐδεῖτο δέ μου συγγνώμην ἔχειν αὐτῷ καὶ συγκρύψαι τὴν συμφορὰν 362, b.

συγχαίρειν] συγχαίρουσι ταῖς ἀσωτίαις αὐτῶν p. 491, 307.

συγχέεσθαι] συγχυθέντων τῶν ὅρκων 379, d. ἐπεὶ νῦν γ' οὕτως ἀνέστραπται καὶ συγκέχυται πολλὰ τῶν κατὰ τὴν πόλιν p. 490, 302.

σύγχυσις perturbatio. φυγὰς δὲ καὶ στάσεις καὶ νόμων συγχύσεις τίς ἂν δύναιτο διεξελθεῖν 64, c.

συγχωρεῖν] εἰ μὴ ταῦτα συγχωρήσομεν. nisi his assentiamur 118, d. εἴτε παρὰ τὸ δίκαιον συγχωρήσαιμέν τι περὶ αὐτῆς. sive præter jus et æquum quicquam de illis (agris) concederemus 130, d. συγχωροῦντες τοῖς πολεμίοις παρὰ τὸ δίκαιον 135, c. εἰ συγχωρήσαιμι τῷ κατηγόρῳ 317, c.

σύζυξ] ἀντίστροφοι καὶ σύζυγες καὶ σφίσιν αὐταῖς ὁμολογούμεναι. affines et cognatæ et sibi consentientes p. 465, 195.

συκοφαντεῖν] μηδὲν μὲν εἰδὼς τῶν ἐμῶν, προῃρημένος δὲ συκοφαντεῖν p. 441, 95.

συκοφάντης] εἰδότες τὰς φυγὰς (exules) διὰ τοὺς συκοφάντας κατ-

*συμβιῶναι ἁπάντων ἥδιστος καὶ λιγυρώτατος. convictor omnium jucundissimus et disertissimus 414, a. τούτοις ἄνδρασιν συμβεβιωκὼς p. 442, 103.

συμβόλαιον] ἅπασι τοῖς ξένοις ἀσφαλῆ τὴν πόλιν πάρεχε καὶ πρὸς τὰ συμβολαῖα νόμιμον (in contractibus æquam) 19, b. τοὺς νόμους τοὺς περὶ τῶν ἰδίων συμβολαίων (leges quæ factæ sunt de privatis contractibus) ἐσκόπουν ὅπως καλῶς ἕξουσιν 56, c. περὶ συμβολαίων κρίνοντες 146, b. ἄπιστα τὰ συμβόλαια ποιοῦντες. fidem contractuum violantes 146, c. ἐπὶ τοῖς [ἰδίοις] συμβολαίοις ἐξαπατῶντες 209, c. οἷς χρῆσθαι περὶ μὲν συμβολαίων καὶ περὶ πλεονεξίας ἀγωνιζόμενον αἰσχρόν. qualibus dictis uti, si de contractibus et emolumentis in foro litiges, turpe sit 283, a. τοὺς μὲν γὰρ ἀποστέροντας τὰ συμβόλαια (qui contractarum rerum fidem frangant) καὶ τοὺς παρακρουομένους οὐχ ἡγοῦνται δικαίως καλεῖσθαι πλεονεκτικοὺς 283, d. οὐδὲν γὰρ κωλύει τοὺς περὶ ἕτερα δεινοὺς γενομένους μὴ χρηστοὺς εἶναι περὶ τὰ συμβόλαια 292, b. μικρῶν ἕνεκα συμβολαίων δουλεύοντες. ob parvas ratiunculas servientes 305, e. ἀπὸ τῶν συμβολαίων τῶν ὑμετέρων ζῶντες. e contractibus vestris victitantes 317, e. πόρρω τῶν πραγματειῶν εἰμὶ τῶν περὶ τὰ συμβόλαια γιγνομένων 318, c. ὅτι προῄρημαι καὶ λέγειν καὶ γράφειν οὐ περὶ τῶν ἰδίων συμβολαίων 310, c. 319, c. τῶν λόγων ἐπιθυμοῦντες οὐ τῶν ἐπὶ τοῖς ἰδίοις συμβολαίοις λεγομένων p. 476, 243. οὐκ ἔστιν ὅπως ποιήσεται τὰς ὑποθέσεις ἀδίκους ἢ μικρὰς ἢ περὶ τῶν ἰδίων συμβολαίων p. 488, 295. σκοπεῖν, ὅπως ἐν τοῖς ἀγῶσι τοῖς περὶ τῶν συμβολαίων τῶν δικαίων τεύξονται p. 496, 331. τὰ μὲν γὰρ συμβόλαια τὰ πρὸς τοὺς ἐπὶ τραπέζαις (qui ad mensas *sedent*) ἄνευ μαρτύρων γίγνεται 358, b. ἀφειμένος ἁπάντων τῶν † συμβολαίων ὑπ' ἐμοῦ 363, d. ἐν μικροῖς μὲν συμβολαίοις ἀδικήσαντες, ἐν μεγάλοις δὲ δίκαιοι γενόμενοι 403, b.

σύμβολον τῆς παιδεύσεως ἡμῶν ἑκάστου πιστότατον ὁρῶσα. institutionis nostrûm cujusque signum certissimum hoc videns essc 50, d.

συμβουλεύειν consilium dare. τὸν μετ' εὐνοίας συμβουλεύοντα χαλεπῶς εὑρήσεις 11, e. ᾠήθην δεῖν μηδὲν παραλιπεῖν ὧν ἔχω σοι συμβουλεύειν ibid. τὰ συμβουλεύοντα καὶ τῶν ποιημάτων καὶ τῶν συγγραμμάτων χρησιμώτατα μὲν ἅπαντες νομίζουσιν. et poemata et alia scripta quæ suasione constant, omnes utilissima esse judicant 23, b. περὶ τοῦ πολέμου τοῦ πρὸς τοὺς βαρβάρους εἰσηγεῖσθαι καὶ συμβουλεύειν 76, c. ἅπερ ἐν τῷ πανηγυρικῷ λόγῳ τυγχάνω συμβεβουλευκὼς 84, c. διό περ ἐπιχειρῶ συμβουλεύειν τὸν τρόπον τοῦτον, ὃν ἐγὼ πέφυκα καὶ δύναμαι. quare sic consilium dare conor, ut natura et vires meæ ferunt 98, d. συμβουλεύεσθαι] ὅταν ὑπὲρ τῶν σεαυτοῦ μέλλῃς τινὶ † συμβουλεύεσθαι 9, d. οἷς οὐδεὶς ἂν οὔτε περὶ τῶν ἰδίων οὔτε περὶ τῶν κοινῶν συμβουλεύσαιτο 170, d. ἀλλ' ὡς οἵ τε καιροὶ καὶ τὸ συμφέρον ἑκάστοις καὶ τὸ † συμβουλεύσασθαι συνέπιπτε 274, a. εἰώθασι τὸ κοινὸν καὶ τὸ † συμβουλευόμενον ὑπὲρ τῶν ἐνεστώτων εἰς ἀσφάλειαν καθιστάναι 407, d.

συμβουλευτέος] τοῖς νεωτέροις συμβουλευτέον p. 463, 187.

συμβουλία] τοῦ παρόντος βίου συμβουλίαν ἐξενεγκεῖν. de præsentis vitæ ratione consilium protulisse 11, d.

σύμβουλος] ὅταν ὑπὲρ σεαυτοῦ μέλλῃς τινὶ *συμβούλῳ χρῆσθαι 9, d. καὶ γὰρ τούτους (Hesiodum, Theognidem, et Phocylidem) φασὶ μὲν ἀρίστους γεγενῆσθαι συμβούλους τῷ βίῳ τῷ τῶν ἀνθρώπων 23, c. σύμβουλος ἀγαθὸς χρησιμώτατον καὶ τυραννικώτατον ἁπάντων τῶν κτημάτων ἐστὶν 25, b. τοιούτοις χρώμεθα συμβούλοις 170, a. ὅταν ὑπὲρ τῶν ἰδίων βουλεύησθε, ζητεῖτε συμβούλους τοὺς ἄμεινον φρονοῦντας ὑμῶν αὐτῶν 161, b. d. 170, c. οὐδὲν μὲν συμβούλων δεόμενος 197, d. ἐποιοῦντο συμβούλους καὶ προστάτας οὐ τοὺς τυχόντας, ἀλλὰ τοὺς βελτίστους 262, c. 264, d. σύμβουλος καὶ συναγωνιστὴς γεγενημένος 425, e.

συμμαρτυρεῖν] τὰ πάλαι ῥηθέντα τοῖς παροῦσιν ἔργοις συμμαρτυρεῖ. olim dicta factis præsentibus testimonium præstant 47, a.

συμμαχία] οὐ γὰρ ἀγνοοῦντες ὅσον διαφέρουσιν αἱ μείζους τῶν συμμαχιῶν πρὸς τὴν ἀσφάλειαν. non enim ignari quantum ad securitatem præstent societates majores 51, c. οὐ τῶν πόλεων τῶν περὶ τὸν τόπον ἐκεῖνον τὰς μὲν ταῖς εὐεργεσίαις πρὸς τὴν αὐτοῦ συμμαχίαν προσῆκται. nonne urbium in vicinia illa beneficiis alias ad societatem sibi devinxit 86, c. ἐγὼ δὲ μεγίστην ἡγοῦμαι συμμαχίαν εἶναι καὶ βεβαιοτάταν τὸ τὰ δίκαια πράττειν 128, b. ὅταν ὁρῶμεν τοὺς μὲν ἔχοντας † συμμαχίας 128, d. τὴν ἡμετέραν συμμαχίαν σωτηρίαν αὐτῶν εἶναι νομίζοντες 130, c. πρέσβεις πέμπουσαι περὶ φιλίας καὶ συμμαχίας 267, a. καὶ πάσῃ τῇ συμμαχίᾳ διαφθείραντες ἡμᾶς τὰ συμφέροντα πεποιήκασιν. et quod ii, cum nos perdiderint, societati universæ utilia fecerint 298, e. πολὺ ἂν θᾶττον τὴν ὑμετέραν ἀρχὴν ἢ τὴν Λακεδαιμονίων συμμαχίαν ὑπομείναιεν 303, e. ὁρῶ γὰρ τὰς συμμαχίας τὰς πρὸς αὐτὴν γιγνομένας ταχέως διαλυομένας 418, b.

συμμαχικῶς ἀλλ' οὐ δεσποτικῶς βουλευόμενοι περὶ αὐτῶν. sociorum more non dominorum de iis consulentes 62, c. μηδὲ δεσποτικῶς ἀλλὰ συμμαχικῶς αὐτῶν ἐπιστατῶμεν 186, a.

συμμαχὶς] εἰ πολιορκουμένῃ τινὶ τῶν πόλεων τῶν συμμαχίδων εἷς μόνος Λακεδαιμονίων βοηθήσειεν 126, e. ὅταν ὁρῶμεν τοὺς μὲν τὰς *συμμαχίδας πόλεις καταλαμβάνοντας 128, d. τὰς δοριαλώτους τῶν πόλεων οὕτω πράως διῴκει καὶ νομίμως ὡς οὐδεὶς ἄλλος τὰς συμμαχίδας p. 450, 133.

σύμμαχος] ἀθύμως γὰρ ἁπάντων τῶν συμμάχων διακειμένων 59, d. ὡς καλῶς διῳκοῦμεν τὰ τῶν συμμάχων 61, e. προέμενοί τινας τῶν συμμάχων. cum quosdam e sociis deseruissent 75, b. ἃ δ' αἰσχύνην ἡμῖν φέρει καὶ πολλοὺς τῶν συμμάχων ἐκδέδωκε 77, e. καὶ γὰρ αἰσχρὸν ἰδίᾳ μὲν τοῖς βαρβάροις οἰκέταις ἀξιοῦν χρῆσθαι, δημοσίᾳ δὲ τοσούτους τῶν συμμάχων περιορᾶν αὐτοῖς δουλεύοντας 78, e. τοσοῦτον πλῆθος χρημάτων εἰσπράξασα τοὺς συμμάχους (tantam pecuniam exactam e sociis) εἰς τὴν ἀκρόπολιν ἀνήνεγκεν 111, e. ἣν ἐθελήσωμεν χρῆσθαι τοῖς συμμάχοις ὁμοίως ὥσπερ τοῖς φίλοις 186, a. οἱ μὲν γὰρ ἡμέτεροι πατέρες ἔπειθον τοὺς συμμάχους ποιεῖσθαι πολιτείαν ταύτην 243, d. ἐγὼ δ' οὔτε τοῖς συμμάχοις ἡγοῦμαι λυσιτελεῖν τοὺς ἀσθενεστέρους τοῖς κρείττοσι δουλεύειν 303, a. τὸ δίκαιον ἔχοντες σύμμαχον 304, c.

συμμένειν] τῶν στρατιωτῶν συμμεινάντων καὶ καλῶς ἐνεγκόντων τὴν συμφορὰν 71, c.

συμμετρία] αὐταῖς ταῖς εὐρυθμίαις καὶ ταῖς συμμετρίαις ψυχαγωγοῦσι τοὺς ἀκούοντας 191, a. ἔξω φερόμενος τῆς συμμετρίας τῆς συντεταγμένης τοῖς προοιμίοις 239, d. περὶ τὴν τοῦ λόγου συμμετρίαν σπουδάζων 250, b. ἔλαθον ἐμαυτὸν οὐκ εἰς ἐπιστολῆς συμμετρίαν ἀλλ' εἰς λόγου μῆκος ἐξοκείλας. non animadverti me non in epistolæ brevitatem, sed in orationis longitudinem incidisse 409, c.

σύμμετρος] τὰ μὲν γὰρ σώματα τοῖς συμμέτροις πόνοις αὔξεσθαι πεφύκασι. moderatis enim laboribus corpora augeri solent 4, c. πῶς γὰρ ἂν γένοιντο σύμμετροι τοιούτοις ἄνδρασιν. quomodo enim paria *verba* talibus viris esse possint 57, c. τὸν καιρὸν ἔχουσα μάλιστα σύμμετρον τοῖς νῦν λεγομένοις 104, d. σύμμετρος καὶ προσήκων τοῖς πρότερον εἰρημένοις λόγος 260, d. οὐ μὴν σύμμετρός γε τοῖς τοιούτοις τῶν ἀνθρώπων p. 453, 146.

συμμέτρως τῶν ὑπαρχόντων ἀπολαύειν 9, b.

συμμορία] τὰ κακὰ τὰ περὶ τὰς * συμμορίας καὶ τὰς ἀντιδόσεις διεξιέναι 185, a.

συμπαθεῖν] ταῖς μικραῖς ἀτυχίαις πολλοὺς ἕκαστος ἡμῶν εἶχε τοὺς συμπαθήσοντας. etiam in parvis malis, multos unusquisque nostrûm haberet qui una dolerent 64, b.

συμπαιδεύεσθαι] καὶ τούτων μάρτυρας ἂν τις ποιήσαιτο, τῆς μὲν σωφροσύνης τοὺς συμπαιδευθέντας τῶν πολιτῶν— atque iis de rebus testimonium perhibebunt; de modestia, cives una cum eo instituti— 193, b. γνωριμώτερος εἶναι ἐν τοῖς ἡλικιώταις καὶ συμπαιδευομένοις p. 460, 172.

συμπαρακελεύεσθαι] οὐ μὴν ἀλλὰ * συμπαρακελεύσασθαί γε καὶ συνασκῆσαι μάλιστ' ἂν οἶμαι τὴν τῶν λόγων τῶν πολιτικῶν ἐπιμέλειαν. sed enim ad comparandam et ad exercitandam virtutem plurimum conducere arbitror eloquentiæ politicæ disciplinam 295, d.

συμπαρακολουθεῖν] κατὰ δὲ τὴν εὐδοξίαν καὶ τοὺς ἐπαίνους καὶ τὴν φήμην [καὶ τὴν μνήμην] τὴν τῷ χρόνῳ συμπαρακολουθοῦσαν ἀθανασίας μεταλαμβάνομεν. at ob gloriam et laudes et famam et memoriam quæ una cum tempore perennis est, immortalitatis participes sumus 109, c.

συμπαρασκευάζειν] * συμπαρασκευασάμενος δύναμιν ὅσην οἷός τ' ἦν πλείστην 102, d. οὐ μὴν ἀλλὰ καὶ † συμπαρασκευάσασθαί γε καὶ συνασκῆσαι μάλιστ' ἂν οἶμαι τὴν τῶν λόγων τῶν πολιτικῶν ἐπιμέλειαν 295, d.

συμπαρατάττεσθαι] κατ' ἄνδρα (viritim) συμπαρατάττεσθαι σφίσιν αὐτοῖς 271, a.

σύμπας] ζήτει νόμους τὸ μὲν σύμπαν δικαίους καὶ συμφέροντας καὶ σφίσιν αὐτοῖς ὁμολογουμένους 18, b. παρ' ἕκαστον τῶν μερῶν ἢ καλῶς ἢ κακῶς τὸ σύμπαν ἔξον. singulis partibus id efficientibus, ut res universa vel præclare vel male se habeat 36, c. περὶ τοῦ σύμπαντος αἰῶνος ἡδίους τὰς ἐλπίδας ἔχοντες 46, b. 166, b. πλείους μὲν

συνεβάλετο τριήρεις ἢ σύμπαντες οἱ ναυμαχήσαντες 61, b. εὐαρμόστως πρὸς τὴν τοῦ σύμπαντος φύσιν (ad universi naturam) ἔχοντες 223, e.

συμπείθειν] καὶ μηδὲν ᾖ τὸ συναγωνιζόμενον καὶ συμπεῖθον 87, d.

συμπέμπειν] ἀπιοῦσιν αὐτοῖς Τισσαφέρνην καὶ τοὺς ἱππέας συνέπεμψεν. abeuntibus illis Tissaphernem et equites immisit qui illos comitarentur 71, c. αὐτοὺς συνεξώρμησαν καὶ * συνέπεμψαν 216, c.

συμπενθεῖν] οὐ συμπενθήσοντες τοὺς τεθνεῶτας 176, c.

συμπεραίνειν] τυχὸν μὲν γὰρ ἄν τι συνεπέρανον. fortasse enim quid profecissent 76, c.

συμπίπτειν] ἐὰν δέ ποτέ σοι συμπέσῃ καιρὸς 9, a. τὰ ἄλλα τὰ συμπίπτοντα κατὰ τὴν ἡμέραν ἑκάστην 16, e. θεώρει τὰ γιγνόμενα καὶ συμπίπτοντα καὶ τοῖς ἰδιώταις καὶ τοῖς τυράννοις. cogita quæ res et gerantur et ferantur, tum a privatis hominibus tum a principibus 22, a. ἅπασι συνέπεσεν ἐξ ἀδόξων μὲν γενέσθαι λαμπροῖς 100, b. τηλικαύτης συμφορᾶς συμπεσούσης 100, c. ὅπερ καὶ συνέπεσεν αὐτοῖς ibid. ἃ καὶ τῇ πόλει συνέπεσεν 177, c. ἡμῖν γὰρ συνέπεσε 247, a. οἷα πρότερον αὐτῇ συνέπεσε περὶ τὴν Πέλοπος μὲν ἁπάσης Πελοποννήσου κατάληψιν, Δαναοῦ δὲ τῆς πόλεως τῆς Ἀργείων, Κάδμου δὲ Θηβῶν 249, a. ἐφ' ὧν καὶ πόλεμοι πλεῖστοι καὶ κίνδυνοι μέγιστοι * συνέπεσον 273, b. πανταχόθεν δέ μοι τοσούτων κακῶν * συμπεπτωκότων 360, c. ὅπως ἂν ἡμῖν συμπίπτῃ. utcunque nobis eveniat p. 437, 81. πρὸς τὰς χρείας τῶν ἀεὶ † συμπιπτόντων οὐχ ἁρμόττουσα (μεγαλοφροσύνη) p. 452, 139. ἵνα τὰς ἀτυχίας τὰς συμπιπτούσας ἐπανορθοῦν δύνῃ 408, a. τὰς δὲ συμφορὰς τὰς τοῖς ἄρχουσι συμπιπτούσας καὶ τοῖς φίλοις αὐτῶν οὐ θεωροῦσιν 420, d.

συμπλεῖν] τοῦ ναυτικοῦ τὸ πλεῖστον ἀπ' Ἰωνίας συμπέπλευκεν 68, c. οὔτ' εἰς τὸν Πόντον ἔφη μοι συμπλευσεῖσθαι 363, c.

σύμπλους δὲ γενόμενος 213, c.

συμπολεμεῖν] ὑπάρχουσι δέ σοι Ἀργεῖοι καὶ Μεσσήνιοι καὶ Μεγαλοπολῖται καὶ τῶν ἄλλων πολλοὶ ἕτοιμοι συμπολεμεῖν 97, a.

συμπολιτεύεσθαι] καὶ τοῖς ὠφελεῖν δυναμένοις τούτοις βλάπτειν τοὺς συμπολιτευομένους ἐπιχειροῦσι. et cives suos per ea lædere non dubitant quæ ad eorum salutem convertere potuissent 27, c. ὥσθ' ἑκάστους αὐτῶν μᾶλλον ἐκείνῳ πιστεύειν ἢ τοῖς συμπολιτευομένοις 86, b. τὰς ψυχὰς τῶν * συμπολιτευομένων ἐλευθερώσας 215, a. τῆς δόξης τῆς τῶν συμπολιτευομένων ὀλιγωροῦντες. reliquorum civium judicia negligentes 238, e. πειρώμενοι τοὺς μὲν φεύγοντας ὀλίγους ποιεῖν, τοὺς δὲ συμπολιτευομένους πολλοὺς 424, d.

συμπονηρεύεσθαι καὶ συνεξαμαρτάνειν βουλόμενοι p. 476, 240.

συμπορίζειν] ἀλλὰ κατὰ μικρὸν αὐτοὶ συνεπορίσαντο. sed ipsi paulatim sibi *necessaria* comparaverunt 47, a.

συμπράττειν socius esse et adjutor in re aliqua facienda. καὶ τῷ βαρβάρῳ τῷ τῆς Ἀσίας κρατοῦντι συμπράττουσιν 67, a. τίνες δ' οὐκ ἂν ἐκπλαγεῖεν καὶ δείσαιεν στρατόπεδον συνιστάμενον τοιαῦτα † συμπεπραγμένον 131, d. συμπράττειν αὐτοῖς. illos adjuvare 372, c.

συμφέρειν] ἐὰν ὁμοίως συμφέρῃ τὰς πράξεις σιωπᾶσθαι σοί τε τῷ λέγοντι κἀκείνοις τοῖς ἀκούουσιν. si pariter expediat et tibi dicenti et illis qui audiunt de rebus illis tacere 6, d. ζήτει νόμους τὸ μὲν σύμπαν δικαίους καὶ συμφέροντας καὶ σφίσιν αὐτοῖς ὁμολογουμένους 18, b. πρέπει καὶ συμφέρει τὴν τῶν βασιλέων γνώμην ἀκινήτως ἔχειν περὶ τῶν δικαίων 18, c. παντάπασιν ἐναντίας τῷ συμφέροντι τὰς ἡδονὰς ἔχοντες. eas voluptates maximas habentes quæ rationi utilitatis maxime repugnant 23, e. ὃ τοῖς πονηροῖς συμφέρον ἐστὶ 29, d. ἔστι δὲ τὸ μὲν πείθειν πρὸς τοὺς Ἕλληνας συμφέρον, τὸ δὲ βιάζεσθαι πρὸς τοὺς βαρβάρους χρήσιμον. quod ad Græcos, persuadere prodest, quod ad barbaros, cogere utile est 85, c. τῶν πόλεων ταῖς ἐπιφανεστάταις καὶ μεγίσταις εὑρήσομεν τὰς δημοκρατίας μᾶλλον ἢ τὰς ὀλιγαρχίας συμφερούσας. claris et magnis civitatibus democratias utiliores oligarchiis esse inveniemus 152, c. χειροτονεῖθ' ὅ τι ἂν ὑμῖν δοκῇ μάλιστα συμφέρειν τῇ πόλει 157. μελετᾶν καὶ φιλοσοφεῖν οὐ τὰ μέλλοντα τῇ πόλει συνοίσειν 159, d. ὥσθ' ὑπειλήφασι τὴν μὲν ἀδικίαν ἐπονείδιστον μὲν εἶναι, κερδαλέαν δὲ καὶ πρὸς τὸν βίον τὸν καθ' ἡμέραν συμφέρουσαν 165, c. μὴ κοινοῦ τοῦ συμφέροντος ὄντος 418, c.

συμφερόντως] φαύλους ἡγοῦ μὴ τοὺς συμφερόντως ἡττωμένους (utiliter victos) 19, e. τό γ' ἡμέτερον καλῶς ἕξει καὶ συμφερόντως 186, d. χρῆσθαι στρατοπέδῳ συμφερόντως p. 448, 126. καλῶς αὐτῷ χρῆσθαι καὶ συμφερόντως ἀμφοτέροις ἡμῖν 423, c.

συμφορὴ] ἐπιβλέπειν τὰς συμφορὰς τὰς ἐκ τῆς ἀβουλίας 9, e. τῶν συμφορῶν τάς τε δι' ἀμαθίαν καὶ τὰς ἐξ ἀνάγκης γιγνομένας διεῖλε. calamitatum eas quæ per inscitiam ab iis quæ per necessitatem oriuntur, distinxit (philosophia scil.) 50, b. τὰς μὲν ἄλλας πόλεις ὑπερορῶντες (despicientes)· ὡς οὐκ ἂν δυναμένας βοηθῆσαι ταῖς ἑαυτῶν συμφοραῖς 52, b. διὰ τὴν ἐνθάδε συμφορὰν ob calamitatem hic acceptam ἐκ τῆς ἀρχῆς ἐξεβλήθησαν 54, e. οὐδεμία (πόλις) τοιαύταις συμφοραῖς περιέπεσεν 62, a. ἐγγὺς ἠναγκάσθη γενέσθαι τῶν συμφορῶν. vicinus esse calamitatibus coactus fuit 64, b. ταῖς μεγίσταις συμφοραῖς περιβάλλειν. maximis calamitatibus circumdare 67, b. ταύτῃ τῇ συμφορᾷ κεχρημένοι 94, a. ταῖς *συμφοραῖς ἐκείναις ἡ πόλις περιέπεσε 152, d. ῥᾴδιόν ἐστι καταμαθεῖν τὴν καλουλένην μὲν ἀρχὴν οὖσαν δὲ συμφορὰν 178, b. ἀλλὰ μὴν καὶ τὰς στάσεις καὶ τὰς σφαγὰς καὶ τὰς τῶν πολιτειῶν μεταβολὰς (*quod attinet ad*), ἐκεῖνοι μὲν ἂν φανεῖεν ἁπάσας τὰς πόλεις πλὴν ὀλίγων μεστὰς πεποιηκότες τῶν τοιούτων συμφορῶν 253, b.

σύμφορος] χωρίον ἐχυρώτατον καὶ πρὸς τὸν πόλεμον συμφορώτατον 131, c.

συμφόρως ἔχειν 102, e.

συμφυγὰς] τοῖς ἡσυχίαν ἄγουσι τῶν συμφυγάδων ὀργίζεσθε 349, c. 351, e.

συμφυλέτης] προκριθέντες ὑπὸ τῶν †συμφυλετῶν καὶ τῶν δημοτῶν 263, a.

συμφωνεῖν consentire. ἔσχε γὰρ διττὰς ἐπιθυμίας, καλὰς μὲν ἀμφοτέρας, οὐ συμφωνούσας δ' ἀλλήλαις 99, d.

συνάγειν convocare. πολλάκις ἐθαύμασα τῶν τὰς πανηγύρεις συναγόντων 41, a. καὶ τὰς ἑταιρείας συνῆγον. et societates collegerunt 56, d. οἶμαι δὲ καὶ τὸν πόλεμον θεῶν τινὰ συναγαγεῖν 57, d. †συναγαγὼν δύναμιν ὅσην οἷός τ' ἦν πλείστην 102, d. κατασταθεῖσα καὶ συναχθεῖσα ἐπὶ δουλείᾳ. constituta et propter servitutem congregata 110, c. τριήρεις συναγαγὼν τριακοσίας καὶ χιλίας 242, d. στρατόπεδον αὐτῷ συναγαγόντες 254, b. συναγαγὼν πάσας αὐτὰς καὶ θεὶς παρ' ἀλλήλας. collectis seorsim omnibus et per collationem explicatis 285, d. ἕτεροι τὰς πράξεις τὰς ἐν τοῖς πολέμοις συναγαγεῖν ἐβουλήθησαν 319, b.

συναγείρειν contrahere. ἅπαντας δὲ τοὺς ἐκ τῆς Ἀσίας συναγείρας 58, d.

συναγορεύειν assentiri. οὐ μὴν οὐδ' εἰ συναγορεύουσι τοῖς ὑπ' ἐμοῦ λεγομένοις. atqui licet iis assentiantur quæ a me dicta sunt 69, b. συναγορεύοντες ταῖς ἐπιθυμίαις ὑμῶν. vestras cupiditates defendentes 82, c. νῦν δ' ὁρῶν τοὺς μὲν συναγορεύοντας οἷς οἱ πολέμιοι προστάττουσι. nunc autem cum videam alios quidem patrocinari iis *mandatis*, quæ præcipiunt hostes 116, b. συναγορεύοντες ταῖς ὑμετέραις ἐπιθυμίαις. qui vestras cupiditates defendunt 159, c.

συναγωγὴ] σεμνὸς ὢν οὐ ταῖς τοῦ προσώπου συναγωγαῖς, ἀλλὰ ταῖς τοῦ βίου κατασκευαῖς 197, e.

συναγωνίζεσθαι] ὁρῶ δὲ καὶ τὴν τύχην ἡμῖν συλλαμβάνουσαν καὶ τὸν παρόντα καιρὸν συναγωνιζόμενον. video autem cum fortunam nobis opitulari, tum occasionem præsentem una concertare 1, c. ἐγὼ μὲν γὰρ οἶμαι τούτων σοι συναγωνιζομένων ἅπαντα γενήσεσθαι κατὰ τρόπον. ego quidem censeo hisce rebus te adjuvantibus, omnia recte fore 91, c. πρὶν ἂν λάβῃ τις τοὺς Ἕλληνας δυοῖν θάτερον, ἢ συναγωνιζομένους ἢ πολλὴν εὔνοιαν ἔχοντας τοῖς πραττομένοις. *nihil enim* prius *agendum* quam ut Græci aut adjutores sint, aut rebus gerendis maxime faveant 99, c. πολλοὺς ἕξομεν τοὺς ἑτοίμως καὶ προθύμως συναγωνιζομένους ἡμῖν 186, d. διαλεγόμενοι καὶ συναγωνιζόμενοι οἷς ἂν βουληθῶσι 190, d. ἐν ᾗ μέγιστα σημεῖα τῆς ἀρετῆς τῆς ὑμετέρας καὶ τῶν ἄλλων τῶν συναγωνισαμένων καταλείπεται 307, e. καὶ πρὸς τοῖς ἄλλοις κακοῖς τοῖς μὲν ἀδικοῦσι συναγωνίζονται p. 455, 150.

συναγωνιστὴς auxiliator. τοιοῦτον λαβὼν συναγωνιστὴν 70, b. τοιοῦτον εἶχε τὸν υἱὸν τὸν ἑαυτοῦ συναγωνιστὴν 201, c. ὑμᾶς μὲν οὖν ἀξιῶ μοι διὰ ταῦτα συγγνώμην ἔχειν καὶ συναγωνιστὰς γίγνεσθαι 321, c. σύμβουλος καὶ συναγωνιστὴς γεγενημένος 425, e.

συναδικεῖν] τοῖς κρείττοσι τοῦ λυσιτελοῦντος ἕνεκα συναδικεῖν. una cum potentioribus commodi privati gratia injuste agere 51, d.

συναιρεῖν simul evertere. αἱ μέλλουσαι (amicæ scilicet) καὶ τὸν ἄλλον οἶκον συναιρήσειν p. 491, 307.

συναιτία] τὴν δὲ πόλιν τὴν ἡμετέραν φασὶν Ἡρακλεῖ μὲν συναιτίαν (auctorem) γενέσθαι τῆς ἀθανασίας 89, a.

συναίτιος] ἡμεῖς καὶ πρὸς ἐκείνους μόνοι τῶν Ἑλλήνων ποιησάμενοι

συνεκπέμπειν] αὐτοὺς συνεξώρμησαν καὶ † συνεξέπεμψαν 216, c.

συνεξαιρεῖν] ἐπειδὴ Τροίαν συνεξεῖλεν. quum in expugnanda Troja strenuam operam navasset 192, c.

συνεξαμαρτάνειν] τῶν φίλων τοῖς συνεξαμαρτάνουσι πλησιάζειν 12, a. πλησιάζειν δὲ βούλονται τοῖς * συνεξαμαρτάνουσιν 23, b. ὅτι νεώτατος ὢν οὐ συνεξήμαρτε τοῖς ἀδελφοῖς 119, e. ἀλλὰ πανταχοῦ πολλὴν ἀφθονίαν εὕροι τίς ἂν τῶν συμπονηρεύεσθαι καὶ συνεξαμαρτάνειν βουλομένων p. 476, 240.

συνεξορμᾶν] ὅμως αὐτοὺς συνεξώρμησαν καὶ συνέπεμψαν 216, c.

συνεπιγραφεύς. qui una cum alio fungitur munere describendi tributum 367, a.

συνερανίζειν colligere, congerere. πρὸ πολλοῦ δ' ἂν ἐποιησάμην οἷόν τ' εἶναι συνερᾶσαι τοὺς λόγους ἅπαντας τοὺς ὑπ' ἐμοῦ περὶ τούτων εἰρημένους 110, b.

συνέρχεσθαι] συνελθεῖν εἰς ταὐτόν. ad eundem locum congregari 49, b. convenire. περὶ ὅσων νυνὶ βουλευσόμενοι συνεληλύθαμεν 117, c. τὸ μὲν οὖν μέγεθος, ὑπὲρ ὧν συνεληλύθαμεν, τηλικοῦτόν ἐστιν 159, b. συνεληλύθατε μὲν γὰρ ὡς δέον ὑμᾶς ἐξ ἁπάντων τῶν ῥηθέντων ἐκλέξασθαι τὸ βέλτιστον. nam ita quidem convenistis, quasi ex omnium sententiis id sit eligendum quod sit e republ. maxime 160, c. ἀλλ' ὧν μὲν πρὶν εἰς τὴν ἐκκλησίαν ἀναβῆναι κατηγοροῦμεν, ταῦτα συνελθόντες χειροτονοῦμεν 170, a. εἰ πάντες συνελθόντες ζητοῖεν 235, d.

σύνεσις] καὶ τοῖς μὲν κατὰ σύνεσιν ἢ κατ' ἄλλο τι προέχουσιν φθονοῦμεν 217, a.

συνέχεσθαι τοῖς κακοῖς. calamitatibus teneri 84, a.

συνεχῶς πενόμενοι. qui perpetuo pauperes sunt 185, b. ὧν ἐπιχειρήσας ἄν τις κατηγορεῖν τρεῖς ἢ τέτταρας ἡμέρας συνεχῶς— 243, e. ἡμεῖς δὲ πέντε καὶ ἑξήκοντα ἔτη συνεχῶς κατέσχομεν τὴν ἀρχὴν 244, b. εἰ τοῖς μὲν συνεχῶς μετὰ Λακεδαιμονίων γεγενημένοις δεδογμένον ὑμῖν ἐστὶ βοηθεῖν 305, b. ἕως μὲν συνεχῶς ἐδημοκρατεῖσθε. quamdiu populari statu constanter usi estis 354, c. ἓξ μῆνας συνεχῶς ἐν τῇ κλίνῃ κείμενος 389, c.

συνηγορεῖν patrocinari. μηδενὶ πονηρῷ πράγματι μήτε παρίστασο μήτε συνηγόρει 10, c. τοῖς δὲ συνηγορεῖν βουλομένοις ἐκεῖνος μόνος λόγος ὑπολείπεται 302, c.

συνήγορος] οὓς ἀπὸ τῶν ἡμετέρων αὐτοῖς οὗτοι παρεσκευάσαντο συνηγόρους. quos nostris *bonis* ii patronos sibi fecerunt 297, c.

συνήδεσθαι] συνησθεὶς τοῖς περὶ τῆς εἰρήνης ψηφισθεῖσι 84, a. συνησθησόμενοι ταῖς ἡμετέραις συμφοραῖς 176, c.

συνήθεια] πολὺ δὲ μεγίστην διαφορὰν εἰλήφασιν ἐν ταῖς πρὸς ἀλλήλους συνηθείαις 1, a. τεκμήριον τῆς πρὸς ὑμᾶς εὐνοίας, σημεῖον δὲ τῆς πρὸς Ἱππόνικον συνηθείας 1, b. τὰς τῶν φαύλων συνηθείας ὀλίγος χρόνος διέλυσε 2, a.

συνήθης] συνήθεις ἡμῖν ὄντες. familiares nobis 289, c.

συνημερεύειν] συνημερεῦσαι καὶ συμβιῶναι ἁπάντων ἥδιστος καὶ λιγυρώτατος. una totum diem transigere et convivere, omnium jucundissimus et disertissimus 414, a.

σύνθεσις compositio. καὶ τοσούτῳ χαλεπωτέραν ἔχουσι τὴν σύνθεσιν 210, b.

συνθήκη pactum. ταῖς συνθήκαις ὥσπερ ἀνάγκαις ἐμμένειν ἀξιοῦντες. pactis autem tanquam necessitate *constricti* stare statuentes 57, a. ἀλλὰ γὰρ ἴσως διὰ τὰς συνθήκας ἄξιον ἐπισχεῖν 77, b. συνθῆκαι μέν εἰσιν, αἵ τινες ἂν ἴσως καὶ κοινῶς ἀμφοτέροις ἔχωσι. pactiones enim sunt, quæ æqualiter et cum pari jure utrisque partibus sint factæ 77, e. τὴν ἡμίσειαν ἐκ τῶν συνθηκῶν εἴληφεν 78, c. ἀμφότερα παρὰ τοὺς ὅρκους καὶ τὰς συνθήκας πράττοντες 121, c. τὰς ἐκ τῶν ἐπιταγμάτων συνθήκας φεύγειν χρὴ ὡς ἐγγὺς δουλείας οὔσας. fœdera cum mandato conjuncta fugienda sunt: parum enim differunt a servitute 126, d. ἐξ ἴσου δὲ νῦν τὰς συνθήκας τοῖς δεσπόταις πεποιημένοι 136, a. ἀλλὰ τὰς τοιαύτας συνθήκας αὐτοὶ ἐν τοῖς ἱεροῖς τοῖς σφετέροις αὐτῶν ἀνέγραψαν 255, a. μηδεμίαν μήτ' αἰτίαν μήτε κατηγορίαν μεῖζον δύνασθαι τῶν ὅρκων καὶ τῶν συνθηκῶν 299, a. παρὰ τοὺς ὅρκους καὶ τὰς συνθήκας τῆς αὐτονομίας ἀποστερούμενοι 299, e. περὶ πλείονος ποιεῖσθαι τῶν ὅρκων καὶ τῶν συνθηκῶν 301, a. 308, d. τὰς συνθήκας ἀναιρεῖν 365, a. b. τὰς συνθήκας λύειν ἐπιχειροῦντες 371, b.

συνιδεῖν] εἰ μὲν οὖν ἔσται τὸ δῶρον ἐξεργασθὲν ἄξιον τῆς ὑποθέσεως, χαλεπὸν ἀπὸ τῆς ἀρχῆς συνιδεῖν 16, b. οὐ μὴν ἀλλὰ καὶ διὰ τούτων συνιδεῖν ῥᾴδιόν ἐστι 30, b. ὥστε μηδέν' ἂν δυνηθῆναι συνιδεῖν μήτε τοὺς χρησίμους μήτε τοὺς ἀχρήστους αὐτῶν (de legibus dicitur) 262, e.

συνισάναι] συνίσασι γὰρ τοὺς πρὸ αὐτῶν τετυραννευκότας τοὺς μὲν ὑπὸ τῶν γονέων ἀνῃρημένους 182, a.

συνιστάναι] ὅθεν ἂν μάλιστα συστῆσαι (conficere) ταῦτα δυνηθεῖεν 43, e. μεγίστου γὰρ πολέμου συστάντος ἐκείνου 55, a. reconciliare. ἢν γὰρ ταύτας συστῆσαι δυνηθῇς 88, c. ὡς μὲν οὖν οὐκ ἀδύνατόν ἐστί σοι συστῆσαι τὰς πόλεις ταύτας. ac fieri quidem posse, ut urbes has in gratiam reducas 93, d. συστάντος γὰρ αὐτῷ ναυτικοῦ περὶ Ῥόδον. coacta enim ab illo classe circa Rhodum 94, e. πῶς οὐ σέ γε χρὴ προσδοκᾶν ῥᾳδίως τὰ προειρημένα συστήσειν (facile hæc perfecturum esse) 95, d. εἰδότες ὅτι συστῆσαι μέν ἐστιν ἅπαντα χαλεπὸν, διαλῦσαι δὲ ῥᾴδιον. haud ignari, quam sit difficile constituere omnia, quam facile vero dissolvere 110, d. οὔτε τοῖς βαρβάροις εἰκός ἐστι συστῆναι τηλικαύτην δύναμιν 111, a. εἰ καὶ μήπω συνεστήκασιν. etsi nobiscum se nondum conjunxerunt 129, b. στρατόπεδα συνιστάντες ἐξ αὐτῶν 267, e. ὁρῶντές τινες τῶν πολὺ πρὸ ἡμῶν γεγονότων περὶ τῶν ἄλλων πολλὰς τέχνας συνεστηκυίας p. 465, 194. συστήσαντες τὴν βουλήν. solicitato et sibi adjuncto senatu 348, b. συστήσαντος δέ μοι Πυθοδώρου τοῦ Φοίνικος Πασίωνα. cum autem Pasionem mihi commendasset Pythodorus Phœnix 359, a. ἐπειδὴ συνέστηκέ σοι. quoniam tibi commendatus est 415, b. νῦν δ' ἐκεῖναι μὲν συνιστᾶσι τοὺς παῖδας τοὺς αὐτῶν p. 479, 257. συνίστασθαι] μάλιστα μὲν οὖν ἐβουλόμην ἂν αὐτὸν συσταθῆναί σοι δι' ἡμῶν 413, a.

σύννους cogitabundus. ἔθιζε σεαυτὸν εἶναι μὴ σκυθρωπὸν ἀλλὰ σύννουν 5, a.

σωφρόνως] σωφρόνως τὸν αὑτοῦ βίον οἰκονομεῖν 12, b. ἄριστα καὶ σωφρονέστατα τὴν αὑτῶν πόλιν διοικοῦντες 142, c.

σωφροσύνη] ἡγοῦ μάλιστα σεαυτῷ πρέπειν κόσμον, αἰσχύνην, δικαιοσύνην, σωφροσύνην 5, b. τὴν δὲ δικαιοσύνην καὶ σωφροσύνην ἴδια κτήματα τῶν καλῶν κἀγαθῶν ἑώρων ὄντα 35, d. τὴν μὲν σωφροσύνην ἐν ταῖς δυναστείαις δοκιμάζειν χρή. temperantiam quidem in potestate explorare oportet 36, a. εὑρήσετε τὴν μὲν ἀκολασίαν καὶ τὴν ὕβριν τῶν κακῶν αἰτίαν γιγνομένην, τὴν δὲ σωφροσύνην τῶν ἀγαθῶν 183, c. καὶ τούτων μάρτυρας ἂν τις ποιήσαιτο, τῆς μὲν σωφροσύνης τοὺς συμπαιδευθέντας τῶν πολιτῶν. atque iis de rebus testimonium perhibebunt; de modestia, cives una cum eo instituti 193, b. ἥτις τοῖς κακῶς πεφυκόσι πρὸς ἀρετὴν σωφροσύνην ἂν καὶ δικαιοσύνην ἐμποιήσειεν. quæ (ars) ingeniis ad virtutem non appositis, vel temperantiam, vel justitiam inserat 295, d. μεγίστην ἐπὶ σοφίᾳ καὶ δικαιοσύνῃ καὶ σωφροσύνῃ δόξαν εἰληφὼς (de Pericle dicitur) p. 446, 118.

σώφρων] σημεῖον ἔστω σοι τοῦ καλῶς βασιλεύειν, ἐὰν τοὺς ἀρχομένους ὁρᾷς εὐπορωτέρους καὶ σωφρονεστέρους γιγνομένους διὰ τὴν σὴν ἐπιμέλειαν 21, b. τοὺς μὲν ἄλλους αἱ συμφοραὶ ποιοῦσιν † σωφρονεστέρους 176, a. ὃν (Periclem) πάντες ἂν ὁμολογήσειεν καὶ σωφρονέστατον καὶ δικαιότατον καὶ σοφώτατον γενέσθαι τῶν πολιτῶν 352, c.

ταλαιπωρεῖν affligere. καὶ πάντας τρόπους τεταλαιπώρηκεν ἡμᾶς 163, a. ὑμῖν δ' ἔξεστιν μηδὲν ταλαιπωρηθεῖσιν ἅπαντα ταῦτα διαπράξασθαι. vobis vero datur nihil mali passis, hæc omnia assequi 40, a.

ταλαιπωρία] καὶ τούτων τῶν ταλαιπωριῶν οὐδεὶς τῶν συγγενῶν μετασχεῖν ἠξίωσεν 389, c. 390, b. καὶ γὰρ εἰ μὲν μετὰ πόνου καὶ ταλαιπωρίας ᾐσθάνοντό σε πορίζόμενον εἰς τὰς λειτουργίας p. 456, 156.

τάλαντον] πλείω δ' ἢ χίλια τάλαντα μάτην εἰς τοὺς ξένους ἀνηλωκότες 141, e. τοὺς νεωσοίκους ἐπὶ καθαιρέσει τριῶν ταλάντων ἀποδόμενοι 153, b. ἣν γὰρ μετὰ μυρίων ταλάντων οὐχ οἷοί τ' ἦμεν διαφυλάξαι 173, a. διελόντες κατὰ τάλαντον. quum in singula talenta distribuissent 175, c. εἰς δὲ τὴν ἀκρόπολιν ἀνήνεγκεν ὀκτακισχίλια τάλαντα χωρὶς τῶν ἱερῶν 184, e. ὥστε εἰς τὴν στρατείαν ταύτην πλέον ἢ τάλαντα πεντακισχίλια καὶ μύρια κατηνάλωσεν 201, b. ἣν Περικλῆς ἀπὸ διακοσίων νεῶν καὶ χιλίων ταλάντων κατεπολέμησε p. 446, 118. εἰς ἣν ἡ πόλις τετρακόσια καὶ δισχίλια τάλαντα τὸ πρότερον ἀνήλωσε p. 447, 119. εἰς τὴν ἀκρόπολιν οὐκ ἐλάττω μυρίων ταλάντων ἀνήνεγκε (Pericles) p. 478, 251. πέντε ταλάντων φεύγω δίκην. quinque talentorum mulctam fugere conor: vel, de quinque talentis causam ago 356, d.

ταμίας] τῶν γὰρ ὄμβρων καὶ τῶν αὐχμῶν τοῖς μὲν ἄλλοις ὁ Ζεὺς ταμίας ἐστὶν 224, a. ἐφυλάττοντο δ' ὑπὸ τῶν ταμιῶν 365, d. ἐμὲ τῶν χρημάτων ταμίαν ἁπάντων κατέστησε 392, b.

ταμιεῖον] ἐντεῦθεν ὥσπερ ἐκ ταμιείου προφέρειν. hinc tanquam ex penu depromere 11, e.

ταξίαρχος] ὁ δὲ τοῖς τοιούτους λοχαγοῖς ἐχρῆτο καὶ ταξιάρχοις p. 448, 123.

τάξις statio. πάντα τὸν βίον ἐν ταύτῃ τῇ τάξει διαμένουσιν 36, d. ἀτιμότεροι τῶν τὰς τάξεις λειπόντων 187, e. τὴν ἰδίαν τοῦ βίου τάξιν διαφυλάττων. vitæ meæ privatum ordinem tenens 116, b.

